pape domini Gregorij decimj et tunc congregati apud Lugdunum sacrosancti concilij, que de uerbo ad uerbum sic se habent: Ego Georgius Acropolita et magnus logotheta, nuncius domini nostri imperatoris Grecorum, Michaëlis Duca Angeli Comninj Paleologi, habens ab eodem sufficiens ad infrascripta mandatum, omne sysma prorsus abiuro, et subscriptam fidei ueritatem, prout plene lecta est et fideliter exposita, in nomine dicti domini mei ueram, sanctam, catholicam et orthodoxam fidem esse cognosco, eam accepto et corde et ore profiteor, ipsamque, prout eam ueraciter tenet, fideliter docet et predicat sacrosancta romana ecclesia, ipsam inuiolabiliter seruaturum nec ab ea ullo unquam tempore recessurum vel quoquomodo deuiaturum uel discrepaturum promitto, primatum quoque ipsius sacrosancte romane ecclesie, prout in premissa serie continetur, ad ipsius ecclesie obedienciam nomine ipsius et meo spontaneus ueniens pro ipso et pro me fateor, recognosco, accepto ac sponte suscipio, et ipsum omnia premissa tam circa fidei ueritatem, quam circa eiusdem ecclesie romane primatum et ipsorum recognicionem, acceptacionem, suscepcionem, observanciam ac perseueranciam seruaturum, prestito in animam ipsius et meam corporaliter iuramento, promitto et confirmo, sic ipsum et me deus adiuuet et hec sancta euangelia. Cum sic de uerbo ad uerbum continens iuramentum iurauerit dictus magnus logotheta in presencia dicti illius sanctissimi et beatissimi vniuersalis pape domini Gregorij decimi et dicti apud Lugdunum sacrosancti concilij et nunc sanctissimus et beatissimus vniuersalis papa et venerabilis pater nostri imperij dominus Iohannes vicesimus primus pecijt per venerabiles nuncios suos, videlicet Iacobum Ferentinum episcopum et Gaufridum, episcopum Taurinum, et fratres, hoc est Raynonum, priorem conuentus Uiterbensis, et Saluum, lectorem Lucanum, fratres ordinis predicatorum, ut affirmet, ratificet per corporale sacramentum imperium nostrum ea, que dictus magnus logotheta iurauit, ut sepius dictum est, imperium nostrum perficiens peticionem sanctissimi vniuersalis pape et uenerabilis patris imperij nostri, domini Iohannis vicesimi primi, consequenter suprascriptis iurat sic: Ego Michaël, in Christo Deo fidelis imperator et moderator Romeorum, Ducas Angelus Comninus Paleologus, omne sysma prorsus abiuro, et suprascriptam fidei ueritatem, prout plene

lecta est et fideliter exposita, ueram, sanctam, catholicam et orthodoxam fidem esse cognosco, eam accepto et corde et ore profiteor, ipsamque, prout eam ueraciter tenet, fideliter docet et predicat sacrosancta romana ecclesia, me inuiolabiliter seruaturum, nec ab ea ullo unquam tempore recessurum uel quoquomodo deuiaturum uel discrepaturum promitto, primatum quoque ipsius sacrosancte romane ecclesie, prout in premissa serie continetur, ad ipsius ecclesie obedienciam spontaneus ueniens fateor, recognosco, accepto ac sponte suscipio, et omnia promissa tam circa fidei ueritatem, quam circa eiusdem ecclesie primatum et ipsorum recognicionem, accepcionem, suscepcionem, obseruanciam ac perseueranciam seruaturum, prestito in anima mea corporaliter iuramento, et promitto et confirmo, predictum iuramentum predicti logothete nostri approbo et ratifico, sic me deus adiuuet et hec sancta dej euangelia. Hec autem omnia suprascripta facit imperium nostrum ad sanctissimum et beatissimum summum pontificem et venerabilem patrem nostri imperij, vniuersalem papam, dominum Iohannem vicesimum primum, et per ipsum ad omnes successores suos, roborans ipsa proprie manus dei gracia imperialem subscripcionem suam et per sigillum potencie sue mensis aprilis quinte indicionis sexto milleno septimo centeno octuagesimo quinto anno. Actum est hoc in vrbe nostra Constantinopoli in sacro nostro palacio Blachernarum.

† Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

V.

In tabulario vaticano servatur etiam professio fidei, quam Michaël imperator misit ad papam Nicolaum tertium anno a M. C. 6788, mense septembri, ind. VIII., p. Ch. 1279. Diplomatis, bulla privati, verba haec sunt:

Sanctissimo et beatissimo primo et summo pontifici, apostolice sedis et vniuersali pape ac communi patri omnium christianorum, reue-

rentissimo patri imperij nostri, domino Nicolao pape tercio, Michael in Christo deo fidelis imperator et moderator Romeorum, Ducas Angelus Comninus Paleologus, et spiritualis filius magne sanctitatis uestre conuenientem honorem et reuerenciam cum sincera et pura affeccione et oracionum postulacionem. Quoniam missi sunt a magintudine uestra ad imperium nostrum nuncij deo placentis ordinis minorum, uidelicet uenerabiles et religiosi viri, frater Bartholomeus, Grossetanus Episcopus, et frater Bartholomeus de Senis, minister Syrie, frater Philippus, lector Perusinus, et frater Angelus, lector Urbeuetanus, qui ab imperio nostro pecierunt ex parte magne sanctitatis uestre multiplicacionem et renouacionem litterarum super fidei professione, primatus recognicione ac suscepcione et obediencie sponsione sacrosancte romane ecclesie, directarum olim a nobis per nuncios, qui ad presenciam apostolice sedis nouissime redierunt, scilicet uenerabiles et religiosos viros, fratrem Iacobum Ferentinatum, Gaufridum Taurinensem episcopos, Fratrem Raynonum, priorem conuentus Uiterbiensis, et Saluum, lectorem Lucanum, sacri ordinis predicatorum, uidelicet ut in nomine magne sanctitatis uestre ipsis litteras exponamus, dignum hoc perficere reputantes, ecce exponimus ipsam multiplicacionem dictarum litterarum in nomine eciam magnitudinis sanctitatis uestre illa recapitulantes et approbantes, que ad beate memorie sanctissimum papam dominum Gregorium decimum exposuimus et attribuimus per nostros nuncios, qui ad ipsius peruenerant sanctitatem, super quibus acceptati fuimus per ipsius beatitudinem et per inuentos ibidem reuerentissimos cardinales et per sacrum et diuinum concilium penes eum tunc apud Lugdunum congregatum. Habet autem professio fidei et consequenter tenor litterarum in dictionibus taliter: *sequitur professio fidei, quae in litteris praecedentibus, usque ad verba:* et dicti apud Lugdunum sacrosancti concilij. Et nunc sanctissimus et beatissimus vniuersalis papa, uenerabilis pater imperiij mei, dominus Nicolaus tercius, vniuersalis ecclesie summus pontifex, pecijt per uenerabiles nuncios suos, uidelicet reuerentissimos uiros, fratrem Bartholomeum, episcopum Grossetanum, et fratrem Bartholomeum, mynistrum Syrie, fratrem Philippum, lectorem Perusinum, et Angelum, lectorem Urbeuetanum, sacri ordinis fratrum minorum, ut renouet, multiplicet, affirmet et ratificet

per corporale iuramentum ea, que dictus magnus logotheta iurauit, ut superius dictum est, et nos ipsi alias eadem fecimus, corporali prestito iuramento, Imperium nostrum perficiens peticionem sanctissimi et vniuersalis pape uenerabilis imperij nostri domini, Nicolai pape tercij, consequenter suprascripta iurat sic: Ego Michaël in Christo Deo fidelis imperator et moderator Romeorum, Ducas Angelus Comninus Paleologus, omne sysma prorsus abiuro etc., *ut in fine praecedentium litterarum usque ad verba:* et confirmo predictum iuramentum magni logothetae et meum, quod alias super hijs feci, approbo et ratifico, sic me deus adiuuet etc. Hec omnia suprascripta facit imperium meum ad sanctissimum et beatissimum summum pontificem et vniuersalem patrem imperij mei, uidelicet Nicolaum vniuersalem papam tercium, et per ipsum ad omnes successores suos, roborans ipsa per proprie manus dei gratia imperialem subscripcionem suam et per sigillum potencie sue mensis septembris indiccione octaua anno sexto milleno septimo centeno octuagesimo octauo. Actum est hoc in vrbe nostra Constantinopolitana in sacro nostro imperiali palacio Blakernarum feliciter amen.

† Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

VI. 6785 (1277) aprili ind. V.

Imperator Andronicus Palaeologus litteris datis ad papam Ioannem XXI. fidem orthodoxam profitetur ad normam romanae ecclesiae.

† Ἐπεὶ ὁ ἅγιός μου αὐθέντης, ὁ βασιλεὺς καὶ πατὴρ τῆς βασιλείας μου, ἀπέστειλε πρὸς τὸν τῆς μακαρίας μνήμης ἁγιώτατον ἐκεῖνον οἰκουμενικὸν πάπαν, κῦριν Γρηγόριον τὸν δέκατον, γράμμα τῆς βασιλείας αὐτοῦ οὑτωσὶ κατὰ ῥῆμα διαλαμβάνον· τῷ ἁγιωτάτῳ μακαριωτάτῳ, τῷ πρώτῳ καὶ ἄκρῳ ἀρχιερεῖ τοῦ ἀποστολικοῦ θρόνου, τῷ οἰκουμενικῷ πάπᾳ καὶ κοινῷ πατρὶ πάντων τῶν χριστιανῶν καὶ σεβασμίῳ πατρὶ τῆς βασιλείας μου, κυρῷ Γρηγορίῳ, Μιχαὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Κομνηνὸς Δούκας Ἄγγελος ὁ Παλαιολόγος καὶ γνήσιος υἱὸς τῆς μεγάλης ἁγιωσύνης σου, τὴν ἀνήκουσαν τιμὴν καὶ αἰδῶ μετὰ εἰλικρινοῦς καὶ καθαρᾶς

διαθέσεως καὶ εὐχῶν αἴτησιν. ἐπεὶ ἀπεστάλησαν παρὰ τῆς σῆς μεγαλειότητος πρὸς τὴν βασιλείαν μου ἀποκρισιάριος τῆς θεαρέστου τάξεως τῶν μινόρων ὅ τε ἀδελφὸς Ἱερώνυμος Ντέσκουλο, ὁ ἀδελφὸς Μποναγράτζια Ντεσάντε Ἰωάννε ἰν Περσετζέτο καὶ ὁ ἀδελφὸς Μποναβεντούρας Ντεμουζέλο, καὶ διεκομίσαντο γράμμα τῆς σῆς μεγάλης ἁγιωσύνης, ἐν ᾧ σὺν ἄλλοις καὶ περὶ τῆς ὁμολογίας τῆς πίστεως, ἣν διδάσκει καὶ ὁμολογεῖ καὶ κηρύττει ἡ ἁγία ἐκκλησία τῆς Ῥώμης, διελαμβάνετο, καὶ ἔδει ἐν τούτοις μᾶλλον ἀπόκρισιν ἡμᾶς δεόντως ποιήσασθαι, ἰδοὺ τοῦτο ποιεῖ ἡ βασιλεία μου. ἔχει δὲ ἡ ὁμολογία τῆς πίστεως ἐπὶ λέξεως οὕτω· πιστεύομεν τὴν ἁγίαν τριάδα, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἕνα θεὸν παντοδύναμον, ὅλην τε ἐν τριάδι τὴν θεότητα ὁμοφυᾶ καὶ συναΐδιον καὶ συμπαντοδύναμον, ἑνὸς θελήματος, ἐξουσίας καὶ μεγαλειότητος, δημιουργὸν πάντων τῶν δημιουργημάτων, ἀφ' οὗ πάντα, ἐν ᾧ πάντα, δι' οὗ πάντα τὰ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ὁρατὰ καὶ ἀόρατα, τὰ σωματικὰ καὶ πνευματικά· πιστεύομεν ἕκαστον ἐν τῇ τριάδι πρόσωπον ἕνα ἀληθινὸν θεὸν πλήρη καὶ τέλειον· πιστεύομεν αὐτὸν τὸν υἱὸν τοῦ θεοῦ, τὸν λόγον τοῦ θεοῦ ἀιδίως γεννηθέντα ἐκ τοῦ πατρὸς, ὁμοούσιον, ὁμοπαντοδύναμον καὶ ἴσον κατὰ πάντα τῷ πατρὶ ἐν τῇ θεότητι, χρονικῶς γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου μετὰ ψυχῆς λογικῆς, δύο ἔχοντα γεννήσεις, μίαν ἐκ πατρὸς ἀΐδιον, ἄλλην ἐκ μητρὸς χρονικὴν, θεὸν ἀληθινὸν καὶ ἄνθρωπον ἀληθινὸν, ἴδιον ἐν ἑκάστῃ φύσει καὶ τέλειον, οὐχ υἱοθετὸν, οὐ φανταστικὸν, ἀλλ' ἕνα καὶ μόνον υἱὸν θεοῦ ἐν δυσὶ καὶ ἐκ δύο, θείᾳ καὶ ἀνθρωπίνῃ, φύσεσιν ἑνὸς προσώπου ἑνότητι, ἀπαθῆ καὶ ἀθάνατον τῇ θεότητι, ἀλλ' ἐν τῇ ἀνθρωπότητι ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας σωτηρίας παθόντα ἀληθεῖ σαρκὸς πάθει, θανόντα καὶ ταφέντα καὶ κατελθόντα ἐν κατωτάτῳ καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ τῶν νεκρῶν ἀληθεῖ σαρκὸς ἀναστάσει, μεθ' ἡμέρας τεσσαράκοντα μετὰ τὴν ἀνάστασιν σὺν τῇ σαρκὶ, ᾗ ἀνέστη, καὶ ψυχῇ ἀνελθόντα εἰς τὸν οὐρανὸν, καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδώσοντα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, εἴτε ἀγαθὰ ἔσονται, εἴτε κακά· πιστεύομεν δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον πλήρη καὶ τέλειον θεὸν, ἀληθῆ θεὸν ἐκ πατρὸς υἱοῦ τε ἐκπορευόμενον, ἴσον καὶ ὁμοούσιον καὶ συμπαντοδύναμον καὶ συναΐδιον κα-

τὰ πάντα τῷ πατρὶ καὶ τῷ υἱῷ· πιστεύομεν ταύτην τὴν ἁγίαν τριάδα οὐ τρεῖς θεούς, ἀλλ' ἕνα θεὸν παντοδύναμον, ἀίδιον, ἀόρατον, ἀναλλοίωτον· πιστεύομεν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν μίαν εἶναι ἀληθινὴν ἐκκλησίαν, ἐν ᾗ ἓν δίδοται ἅγιον βάπτισμα καὶ ἀληθὴς πασῶν ἄφεσις ἁμαρτιῶν· πιστεύομεν δὲ καὶ ἀληθῆ ἀνάστασιν τῆσδε τῆς σαρκός, ἣν νῦν φέρομεν, καὶ ζωὴν ἀίδιον· πιστεύομεν δὲ τῆς νέας καὶ τῆς παλαιᾶς διαθήκης, τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων ἕνα ἀρχηγὸν εἶναι θεὸν καὶ κύριον παντοδύναμον· αὕτη ἐστὶν ἡ ἀληθὴς πίστις καὶ καθολική, καὶ ταύτην ἐπὶ τοῖς ῥηθεῖσι κεφαλαίοις κρατεῖ καὶ κηρύττει ἡ ἱερὰ καὶ ἁγία τῆς Ῥώμης ἐκκλησία· ἀλλὰ διά τινας διαφόρους πλάνας παρά τινων μὲν ἐξ ἀγνοίας, παρά τινων δὲ ἐκ κακίας εἰσαχθείσας λέγει καὶ κηρύττει τοὺς μετὰ τὸ βάπτισμα εἰς ἁμαρτίας ὀλισθαίνοντας μὴ ἀναβαπτίζεσθαι, ἀλλὰ δι' ἀληθοῦς μετανοίας τῶν ἰδίων δύνασθαι λαμβάνειν συμπάθειαν ἁμαρτιῶν, ἐὰν δὲ οἱ ἀληθῶς μετανοοῦντες ἐν ἀγάπῃ ἀποχωρήσωσι πρὸ τοῦ ἀξίοις καρποῖς μετανοίας περὶ τῶν πλημμεληθέντων τὸ ἱκανὸν ποιῆσαι ἢ τῶν ἁμαρτηθέντων, τούτων τὰς ψυχὰς ποιναῖς πουργατορίου ἤτοι καθαρτηρίου, καθὼς ὁ ἀδελφὸς Ἰωάννης ἡμῖν διεσάφησε, μετὰ θάνατον καθαρίζεσθαι, πρὸς δὲ τὸ τὰς ποινὰς ταύτας ἀνακουφίζεσθαι ὠφελεῖ αὐτοὺς τῶν ζώντων πιστῶν ἡ συγκρότησις, λειτουργιῶν λέγω ἱεροτελεστίαι, προσευχαὶ καὶ ἐλεημοσύναι καὶ ἄλλα εὐσεβείας ἔργα τὰ παρὰ τῶν πιστῶν ὑπὲρ ἄλλων πιστῶν γίνεσθαι εἰθισμένα κατὰ τὴν τῆς ἐκκλησίας ἀποκατάστασιν· τούτων δὲ τὰς ψυχὰς τῶν μετὰ τὸ ἱερὸν βάπτισμα λαβεῖν εἰς μηδένα ἁμαρτίας μῶμον ἐπιδραμόντων κἀκείνας τὰς μετὰ τὸ ἐφελκύσαι ἁμαρτίας μῶμον, ἂν ἢ ἐν τοῖς οἰκείοις μένουσαι σώμασιν ἢ μετὰ τὴν τούτων ἀπέκδυσιν, ὡς ἀνωτέρω εἴρηται, καθαρισθήσονται, εἰς τὸν οὐρανὸν αὐτίκα παραδέχεσθαι, ἐκείνων δὲ τὰς ψυχὰς τῶν ἐν θανασίμῳ ἁμαρτίᾳ ἢ μετὰ μόνης τῆς προπατορικῆς ἀποχωρησάντων παραυτίκα εἰς τὸν ᾅδην καταβαίνειν, ποιναῖς ἀνίσοις τιμωρηθησομένας. ταῦτα ἡ ἁγία ἐκκλησία τῆς Ῥώμης πιστεύει καὶ στερρῶς βεβαιοῖ, καὶ ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως πάντες ἄνθρωποι πρὸ τοῦ βήματος τοῦ Χριστοῦ μετὰ τῶν ἰδίων σωμάτων φανήσονται, ἀποδώσοντες περὶ τῶν οἰκείων πράξεων λόγον. κρατεῖ δὲ καὶ διδάσκει αὕτη ἡ τῆς Ῥώμης ἐκκλησία ἑπτὰ εἶναι ἐκκλησιαστικὰ μυστήρια, ἓν λέγω τὸ βάπτισμα, περὶ οὗ εἴρηται

ἄνω, ἄλλο ἐστὶ μυστήριον βεβαιώσεως, ὃ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν οἱ ἐπίσκοποι φέρουσι, χρίοντες τοὺς ἀναγεννωμένους, ἄλλο ἐστὶν ἡ μετάνοια, ἄλλο ἐστὶν ἡ εὐχαριστία, ἄλλο μυστήριον τῆς ἱερατικῆς χειροτονίας, ἄλλο ἐστὶ τὸ τοῦ γάμου, ἄλλο τὸ ἔσχατον χρίσμα, ὃ κατὰ τὴν διδασκαλίαν [τοῦ ἁγίου Ἰακώβου] τοῖς ἀσθενέσιν ἀποδίδοται. τὸ ἱερούργημα τῆς εὐχαριστίας ἐξ ἀζύμου ἐκτελεῖ ἡ τοιαύτη τῆς Ῥώμης ἐκκλησία, κρατοῦσα καὶ διδάσκουσα, ὅτι ἐν αὐτῇ τῇ ἱεροτελεστίᾳ ὁ ἄρτος ἀληθῶς μετουσιοῦται εἰς σῶμα καὶ ὁ οἶνος εἰς αἷμα τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. περὶ τοῦ γάμου δὲ κρατεῖ, ὅτι οὔτε εἷς ἀνὴρ πολλὰς γυναῖκας ὁμοῦ, οὔτε μία γυνὴ παραχωρεῖται ὁμοῦ ἔχειν πολλοὺς ἄνδρας, διαλυθέντος δὲ τοῦ γάμου ἀπὸ θανάτου θατέρου τῶν ὁμοζύγων, δευτέρους καὶ τρίτους ἐντεῦθεν γάμους θεμιτοὺς εἶναι λέγει, εἰ ἐμποδισμὸς κανονικὸς ἐξ αἰτίας τινὸς οὐ προσίσταται. αὐτὴ ὡσαύτως ἡ ἱερὰ καὶ ἁγία τῆς Ῥώμης ἐκκλησία ἄκρον καὶ τέλειον πρωτεῖον καὶ ἀρχὴν ἐπὶ πᾶσαν τὴν καθολικὴν ἐκκλησίαν κατέχει, ἣν ἐν αὐτῇ ἀπ' αὐτοῦ τοῦ κυρίου ἐν τῷ μακαρίῳ Πέτρῳ τῷ τῶν ἀποστόλων ἄρχοντι ἢ τῇ κορυφῇ, οὗ ὁ τῆς Ῥώμης ἀρχιερεύς ἐστι διάδοχος, μετὰ πλήρους ἐξουσίας παραδέξασθαι ἀληθῶς καὶ ταπεινῶς ἀναγνωρίζει, καὶ καθὼς παρὰ τὰς ἄλλας κρατεῖται τῆς πίστεως τὴν ἀλήθειαν διεκδικεῖν, οὕτω καὶ ἐάν τινες περὶ τῆς πίστεως ἀναφύωνται συζητήσεις, τῇ ταύτης χρεὼν κρίσει διορίζεσθαι, εἰς ταύτην δύναται καὶ βαρυνόμενος ἕκαστος ἐν πράγμασι τοῖς εἰς τὴν αὐλὴν τὴν ἐκκλησιαστικὴν ἀνήκουσιν ἐγκαλεῖν, καὶ ἐν πάσαις ταῖς αἰτίαις ταῖς πρὸς δοκιμασίαν ἐκκλησιαστικὴν ἀφορώσαις πρὸς ταύτης δύναταί τις ἀνατρέχειν τὴν κρίσιν, καὶ ταύτῃ πᾶσαι αἱ ἐκκλησίαι ὑπόκεινται, καὶ τούτων οἱ ἀρχιερεῖς ὑπακοὴν καὶ αἰδῶ ταύτῃ ὀφείλουσι. πρὸς ταύτην οὕτω τὸ τῆς ἐξουσίας πλήρωμα συνίσταται, ὅτι τὰς ἑτέρας ἐκκλησίας καὶ τὰς πατριαρχικὰς ἐξαιρέτως ἐν διαφόροις προνομίοις αὕτη ἡ τῆς Ῥώμης ἐκκλησία τετίμηκε, τοῦ ἰδίου πλὴν πρεσβείου τὸ μὲν ἐν ταῖς γενικαῖς συνόδοις, τὸ δὲ καὶ ἔν τισιν ἄλλαις ἀεὶ σωζομένου. τὴν ἀνωτέρω γραφεῖσαν τῆς πίστεως ἀλήθειαν, καθὼς πληρεστάτως ἀνέγνωσται καὶ πιστῶς ἐκτέθειται, ἀληθῆ, ἁγίαν, καθολικὴν καὶ ὀρθόδοξον πίστιν ταύτην εἶναι γινώσκομεν καὶ ἀποδεχόμεθα, καὶ καρδίᾳ καὶ στόματι ὁμολογοῦμεν, ὅτι ταύτην ἀληθῶς κρατεῖ καὶ πιστῶς διδάσκει καὶ κηρύττει ἡ ἱερὰ καὶ ἁγία τῆς Ῥώμης ἐκκλησία, καὶ ἀδιαφθόρως φυλάξαι τὴν

τοιαύτην ὁμολογίαν καὶ ἐν αὐτῇ παντὶ καιρῷ διαμεῖναι καὶ οὐδέ τινί ποτε καιρῷ ἀπ' αὐτῆς ἀναχωρῆσαι τινὶ τρόπῳ ἢ παροδεῦσαι ἢ διχονοῆσαι ὑπισχνούμεθα, τό τε πρωτεῖον τῆς τοιαύτης ἁγίας ἐκκλησίας τῆς Ῥώμης, καθὼς ἐν τῷ προρρηθέντι εἱρμῷ περιέχεται, πρὸς τὴν τῆς τοιαύτης ἁγίας ἐκκλησίας ὑπακοὴν αὐτοπροαιρέτως ἐρχόμενοι, ὁμολογοῦμεν καὶ ἀναγνωρίζομεν καὶ ἀποδεχόμεθα καὶ ἑκουσίως ὑποδεχόμεθα. ὁμολογοῦντες δὲ ταῦτα καὶ στέργοντες καὶ ἀποδεχόμενοι καὶ ὑπισχνούμενοι παραφυλάξαι, ὡς προείρηται, ἀξιοῦμέν σου τὴν μεγαλειότητα, ἵνα ἡ ἡμετέρα ἐκκλησία λέγῃ τὸ ἅγιον σύμβολον, ὡς ἔλεγε τοῦτο πρὸ τοῦ σχίσματος καὶ μέχρι τῆς σήμερον, καὶ ἵνα ἐμμένωμεν καὶ τοῖς ἡμετέροις ἐθίμοις, οἷς ἐχρώμεθα καὶ πρὸ τοῦ σχίσματος, ἅτινα ἔθιμα οὐκ εἰσὶ κατὰ τῆς προγεγραμμένης πίστεως, οὔτε κατὰ τῶν θείων ἐντολῶν, οὔτε κατὰ τῆς παλαιᾶς καὶ νέας διαθήκης, οὔτε κατὰ τῆς διδαχῆς τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων καὶ τῶν ἁγίων πατέρων τῶν ἀποδεχθέντων παρὰ τῶν ἁγίων συνόδων τῶν συγκροτηθεισῶν τῇ πνευματικῇ δεσποτείᾳ τῆς ἐκκλησίας τῆς Ῥώμης· τοῦτο γοῦν ἀβαρές ἐστι τῇ μεγάλῃ ἁγιωσύνῃ σου καὶ οὐκ ἀσύνηθες καὶ ἡμῖν νῦν δύσκολον διὰ τὸ τοῦ λαοῦ ἄπειρον πλῆθος. ἀνεθέμεθα πρὸς τούτοις καὶ τοῖς παροῦσιν ἡμετέροις ἀποκρισιαρίοις, ἵνα τὰ δηλωθέντα διὰ τῆς παρούσης ἡμετέρας γραφῆς ὁμολογήσωσι καὶ στέρξωσι δικαίῳ τῆς βασιλείας ἡμῶν ἐνώπιον τῆς σῆς μεγάλης ἁγιωσύνης. τὸ γοῦν παρὸν γράμμα τὸ περὶ τῆς ἡμετέρας ἀναγνωρίσεως, ἀποδοχῆς καὶ ὑποδοχῆς καὶ ὁμολογίας οἰκειοχείρως τῇ ἡμετέρᾳ θεοῦ χάριτι βασιλικῇ ὑπογραφῇ ἐσημειωσάμεθα καὶ τὸ σφράγισμα τοῦ ἡμετέρου κράτους κάτωθεν ἀπῃωρήσαμεν. ἐπεὶ ταῦτα κατὰ ῥῆμα ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεὺς καὶ πατὴρ τῆς βασιλείας μου ἀπέστειλε πρὸς τὸν δηλωθέντα ἐκεῖνον ἁγιώτατον οἰκουμενικὸν πάπαν, κῦριν Γρηγόριον, καὶ ἡ βασιλεία μου ἀκολούθως τῷ ἁγίῳ μου αὐθέντῃ, τῷ βασιλεῖ καὶ πατρὶ τῆς βασιλείας μου, ἀπέστειλε πρὸς τὸν αὐτὸν ἁγιώτατον οἰκουμενικὸν πάπαν γράμμα αὐτῆς, στέργουσα καὶ ἀποδεχομένη τὰ ἅπερ ἡ βασιλεία αὐτοῦ διεμηνύσατο καὶ ἔστερξε καὶ ἐβεβαίωσεν, ἃ καὶ δικαίῳ τῆς βασιλείας αὐτῆς ἐπωμόσατο διὰ σωματικοῦ ὅρκου καὶ ἐπεστήριξεν ὁ μέγας λογοθέτης ἐνώπιον τοῦ ῥηθέντος ἐκείνου ἁγιωτάτου οἰκουμενικοῦ πάπα, κυροῦ Γρηγορίου, καὶ τῆς τότε συναθροισθείσης ἐν τῷ Λουγδούνῳ ἱερᾶς καὶ ἁγίας συνόδου, ἀρτίως δὲ ὁ

ἁγιώτατος, μακαριώτατος οἰκουμενικὸς πάπας καὶ κοινὸς πατὴρ πάντων τῶν χριστιανῶν καὶ σεβάσμιος πατὴρ τῆς βασιλείας ἡμῶν, κῦρις Ἰωάννης εἰκοστὸς πρῶτος, διὰ τῶν σεβασμίων πρέσβεων αὐτοῦ, ἤγουν τοῦ Ἰακώβου Φερεντίνου καὶ τοῦ Γαουφρίδου Ταουρίνου, τῶν ἐπισκόπων, καὶ τῶν ἀδελφῶν, τοῦ τε Ῥαϊνόνου, πριούρη τῆς ὁμηγύρεως τοῦ Βιτερμπίου, καὶ τοῦ Σάλβου, διδασκάλου τῶν ἐν τῇ Λούκᾳ ἀδελφῶν, τῆς τάξεως τῶν κηρύκων, ᾐτήσατο, ἵνα ἐπιβεβαιώσῃ καὶ διὰ σωματικοῦ ὅρκου ἡ βασιλεία ἡμῶν τὰ ἅπερ ὁ προρρηθεὶς μέγας λογοθέτης ἐπωμόσατο, ὃ καὶ ἀπεπλήρωκεν ὁ ἅγιός μου αὐθέντης, ὁ βασιλεὺς καὶ πατὴρ τῆς βασιλείας μου, κατὰ τὴν αἴτησιν τοῦ ῥηθέντος ἁγιωτάτου οἰκουμενικοῦ πάπα καὶ σεβασμίου πατρὸς τῆς βασιλείας ἡμῶν, κυροῦ Ἰωάννου τοῦ εἰκοστοῦ πρώτου, καὶ ἐκύρωσε ταῦτα καὶ διὰ σωματικοῦ ὅρκου, ἡ βασιλεία μου κατὰ πάντα ἑπομένη τῷ ἁγίῳ μου αὐθέντῃ, τῷ βασιλεῖ καὶ πατρὶ τῆς βασιλείας μου, ἀκολούθως τοῖς προγεγραμμένοις ὀμνύει οὕτως· ἐγὼ Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς Κωνσταντινουπόλεως, ἀειαύγουστος, αὐτοκράτωρ Ῥωμαίων καὶ πάντων τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ τῆς Ῥωμανίας ἐθνῶν, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος, πᾶν σχίσμα παντελῶς ἀπομνύω, καὶ τὴν ἀναγεγραμμένην τῆς πίστεως ἀλήθειαν, καθὼς πληρεστάτως ἀνέγνωσται καὶ πιστῶς ἐκτέθειται, ἀληθῆ, ἁγίαν, καθολικὴν καὶ ὀρθόδοξον πίστιν εἶναι γινώσκω, ταύτην ἀποδέχομαι καὶ καρδίᾳ καὶ στόματι ὁμολογῶ, ταύτην τε, καθὼς ἀληθῶς κρατεῖ, πιστῶς διδάσκει καὶ κηρύττει ἡ ἱερὰ καὶ ἁγία τῆς Ῥώμης ἐκκλησία, ἐμὲ ἀπαραθραύστως φυλάξαι καὶ μήτε ἀπ᾽ αὐτῆς τινι πώποτε καιρῷ ἀποχωρῆσαι, ὁποιῳδήτινι τρόπῳ παροδεῦσαι ἢ ἀποστῆναι ὑπόσχομαι, τὸ πρωτεῖόν τε τῆς τοιαύτης ἱερᾶς καὶ ἁγίας ἐκκλησίας τῆς Ῥώμης, καθὼς ἐν τῷ προρρηθέντι ὕφει περιέχεται, πρὸς ὑπακοὴν τῆς τοιαύτης ἐκκλησίας ἑκούσιος ἐρχόμενος, ὁμολογῶ, ἀναγνωρίζω, ἀποδέχομαι καὶ ἑκουσίως ὑποδέχομαι καὶ πάντα τὰ προρρηθέντα, τὸ μὲν τὰ περὶ τὴν ἀλήθειαν τῆς πίστεως, τὸ δὲ τὰ περὶ τὸ πρωτεῖον τῆς ἐκκλησίας τῆς Ῥώμης καὶ τὴν τούτων ἀναγνώρισιν, ἀποδοχήν, ὑποδοχήν, φυλακὴν καὶ διακονὴν φυλάξαι, παρασχὼν εἰς τὴν ψυχήν μου σωματικῶς ὅρκον, ὑπόσχομαι καὶ βεβαιῶ καὶ τὸν ῥηθέντα ὅρκον τοῦ προρρηθέντος μεγάλου λογοθέτου, καθὼς ἐν τῷ γράμματι τοῦ ἁγίου μου αὐθέντου, τοῦ βασιλέως τοῦ πατρὸς τῆς βασιλείας μου, περιέχεται,

ἀποδέχομαι καὶ ἐπικυρῶ καὶ οὕτως ἐμοὶ ὁ θεὸς βοηθήσαι καὶ ταῦτα τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια. ταῦτα δὲ πάντα τὰ ἀναγεγραμμένα π(οιεῖ) ἡ βασιλεία ἡμῶν πρός τε τὸν ἁγιώτατον, μακαριώτατον, ἄκρον ἀρχιερέα καὶ σεβάσμιον πατέρα τῆς βασιλείας ἡμῶν, τὸν οἰκουμενικὸν πάπαν, κῦριν Ἰωάννην εἰκοστὸν πρῶτον, καὶ δι' αὐτοῦ πρὸς πάντας τοὺς διαδόχους αὐτοῦ, ἐπικυροῦσα ταῦτα διά τε τῆς οἰκειοχείρου θεοῦ χάριτι βασιλικῆς ὑπογραφῆς αὐτῆς καὶ τοῦ σφραγίσματος τοῦ ἡμετέρου κράτους εἰς βεβαίωσιν αἰωνίζουσαν. τὸ δὲ παρὸν ὁρκωμοτικὸν ἐγεγόνει ἐν τῇ εὐδαίμονι πόλει ἡμῶν τῇ Κωνσταντίνου ἐν τῷ ἡμετέρῳ ἱερῷ παλατίῳ τῶν Βλαχερνῶν κατὰ μῆνα ἀπρίλλιον τῆς πέμπτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πέμπτου ἔτους †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος †.

Orig. membr., aurea bulla suspensa serico violaceo. Tabularium vaticanum servat etiam duo originalia versionis latinae cum imperatoris subscriptione, quorum alterum auream habet bullam, in qua conspiciuntur imago Iesu Christi: IC XC; *et solita imperatoris imago:* ΑΝΔΡΟΝΙΚΟΣ ΔΕΣΠΟΤΗΣ| Ο ΠΑΛΑΙΟΛΟΓΟΣ.

VII. 6785 (1277.) aprili ind. V.

Patriarcha Ioannes Beccus litteris datis ad papam Ioannem XXI. fidem orthodoxam profitetur ad normam ecclesiae romanae.

† Τῷ ἁγιωτάτῳ, μακαριωτάτῳ, ἄκρῳ ἀρχιερεῖ τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης καὶ οἰκουμενικῷ πάπᾳ, κυρῷ Ἰωάννῃ, Ἰωάννης, ἐλέῳ θεοῦ πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης, μετὰ πάσης τῆς περὶ ἐμὲ ἱερᾶς καὶ ἁγίας συνόδου τὴν ὀφειλομένην προσαγορείαν τῇ ἡμετέρᾳ ὑπακοῇ, προσκύνησίν τε καὶ εὐχῶν αἴτησιν. ἀρχῆς καλῆς κάλλιστον εἶναι τὸ τέλος ἀναμφιβόλως ἅπασιν ὡμολόγηται· καὶ πῶς γὰρ οὔ, εἴ γε πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ τῶν φώτων πατρός; τούτου γὰρ ὁμολογουμένου ἑπόμενόν ἐστι πιστεύε-

σθαι πᾶσαν ἀρχὴν παντὸς πράγματος καλῶς ἐνηργμένου τῆς θείας ἐξηρτῆσθαι βουλῆς, καὶ διὰ τοῦτο κατὰ πᾶσαν ἀνάγκην τὴν τοιαύτην ἀρχὴν καὶ εἰς τέλος ἀναπαύεσθαι κάλλιστον· ὃ γὰρ ἐκ θεοῦ καλῶς ἤρξατο, πῶς οὐκ ἂν καὶ κάλλιστα περατωθείη σὺν θεῷ; ὁποῖόν τι γέγονε καὶ ἐπὶ τοῖς περὶ ὧν νῦν πρόκειται λέγειν ἡμῖν, ὦ θεία καὶ ἱερὰ κεφαλή· τῆς γὰρ ἐκκλησιαστικῆς ἑνώσεως εὐκλεῶς ἐναρχθείσης ἐπὶ τοῦ τῆς μακαρίας λήξεως ἀοιδίμου ἐκείνου ἀνδρὸς, εἴ γε ἄνδρα καλεῖν χρὴ καὶ οὐκ ἄγγελον, τὸν μακαρίτην ἐκεῖνον ἁγιώτατον πάπαν, τὸν δέκατον λέγω Γρηγόριον, εἰς εὐκλεέστερον τέλος τὰ κατ' αὐτὴν θεὸς διεπέρανεν ἐπὶ τῶν ἡμερῶν, ἐν αἷς εἰς κόσμον τοῦ ἀποστολικοῦ θρόνου καὶ φαῦσιν διαφανῆ τοῦ στερεώματος τῆς καθολικῆς ἐκκλησίας τὸν χαριτώνυμον σὲ ὁ θεὸς ἐκλεξάμενος ἔθετο· ἐπεὶ γὰρ οἱ τοῦ ἀποστολικοῦ θρόνου πρέσβεις, ἤγουν οἱ αἰδεσιμώτατοι ἡμῶν ἀδελφοί τε καὶ συνεπίσκοποι, ὅ τε Ἰάκωβος Φερεντῖνος καὶ ὁ Γαουφρῖδος Ταουρῖνος καὶ οἱ ἀπὸ τῆς θεαρέστου τάξεως τῶν κηρύκων εὐλαβέστατοι ἡμῶν ἀδελφοί, ὅ τε Ῥαϊνόνος, πριούρης τῆς ἐν τῷ Βιτέρβῳ συνελεύσεως, καὶ ὁ Σάλβος, ὁ διδάσκαλος τῶν ἐν τῇ Λούκᾳ, ταῖς τῆς σῆς ἁγιώτητος εὐχαῖς εὐοδούμενοι κατέλαβον πρός τε τοὺς κρατίστους καὶ ἁγίους ἡμῶν αὐτοκράτορας καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ ἡμᾶς εὑρεθεῖσαν ἱερὰν καὶ ἁγίαν σύνοδον τὴν ἀπὸ τῆς ὁλότητος ἐναπολειφθεῖσαν τῆς προγεγονυίας μεγάλης συνόδου, ἡ τῆς ῥηθείσης ἐκκλησιαστικῆς ἑνώσεως ἔναρξις εἰς τέλος αἴσιον θεοῦ εὐδοκοῦντος ἀποκατέστη ἀνελλιπῶς. καὶ ὅπως μὲν ὁ κράτιστος καὶ ἅγιος αὐτοκράτωρ ἡμῶν σὺν τῷ ἐκ θεοῦ βεβλαστηκότι κλάδῳ τῆς ῥίζης αὐτοῦ, τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐτοκράτορι, τὴν βεβαίωσιν τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἐν τελείᾳ πίστει καὶ ἀκριβεῖ πληροφορίᾳ ἐποιήσαντο, ἔχει γνῶναι ἡ μεγίστη ἁγιωσύνη σου ἀπό τε τῶν πρὸς αὐτὴν γραμμάτων τοῦ κράτους αὐτῶν, ἀπό τε τοῦ γεγονότος παρ' αὐτῶν ὁρκωμοτικοῦ καὶ ἀφ' ὧν οἱ τοῦ ἀποστολικοῦ θρόνου πρέσβεις διὰ στόματος αὐτῶν ταῖς θείαις ἀκοαῖς τῆς μεγίστης ἁγιωσύνης σου ἐνηχήσουσιν· ὅπως δὲ καὶ ἡμεῖς τὸ κῦρος παρέχομεν καὶ τὸ τέλος ἐπιτιθέαμεν τῇ εὐκλεεῖ ἐνάρξει τοῦ τοιούτου τῆς ἑνώσεως ἔργου, ἔχει μὲν γνῶναι ἡ σὴ θεομεγάλυντος ἁγιότης καὶ ἀπὸ τοῦ ἐμφανισθησομένου αὐτῇ σινοδικοῦ τόμου, ὃν ἡ μετριότης ἡμῶν μετὰ πάσης τῆς περὶ αὐτὴν ἱερᾶς ὁμηγύρεως ἐπιστώσατο καὶ ἐξησφαλίσατο ταῖς παρ'

ἡμῖν ὅρκου δύναμιν ἐχούσαις οἰκειοχείροις ὑπογραφαῖς, ἔχει δὲ γνῶναι καὶ ἀφ' ὧν ἐν τῇ παρούσῃ γραφῇ ἰδιαίτερον ἐροῦμεν ἡμεῖς, τὴν πληροφορίαν παντὶ τρόπῳ τῇ μεγίστῃ ἁγιωσύνῃ σου παρέχοντες τῆς ἡμετέρας πρὸς τὸν ἀποστολικὸν θρόνον καθαρᾶς καὶ τελείας ὑπακοῆς. λέγομεν γὰρ ὑπὸ μάρτυσι θεῷ καὶ ἀγγέλοις τοὺς λόγους ποιούμενοι, ὡς πᾶν σχίσμα μέσον τῶν ἐκκλησιῶν θεοῦ, τῆς πρεσβυτέρας δηλαδὴ Ῥώμης καὶ τῆς νέας καὶ ἡμετέρας, κακῶς παρεισφθαρὲν καὶ ἐπὶ βλάβῃ τοῦ χριστιανισμοῦ ἀπαναινόμεθα καὶ ἀποβαλλόμεθα καὶ καρδιακῇ διαθέσει καὶ ἐκ ψυχῆς ὅλης, πρότερον αὐτὸ ἀποθέμενοι διὰ γλώσσης καὶ χειλέων καὶ τοῦ προφορικοῦ ἡμῶν λόγου κἀν τῇ παρούσῃ γραφῇ αὐτὸ ἀπαρνούμεθα, καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην τε καὶ ὁμόνοιαν καὶ τὸ πρωτεῖον τοῦ ἀποστολικοῦ θρόνου ὁμολογοῦμεν, ἀναγνωρίζομεν, ἀποδεχόμεθα καὶ ἑκουσίως ὑποδεχόμεθα, καὶ πρὸς τὴν αὐτοῦ ὑπακοὴν ἑκούσιοι ἐρχόμενοι στέργειν καὶ φυλάττειν ἀπαραποίητον ὑπισχνούμεθά τε καὶ διαβεβαιούμεθα, καὶ ἅπερ ἦσαν ἀρχῆθεν πρὸ τοῦ σχίσματος ἀπονενεμημένα πρεσβεῖα τῷ ἀποστολικῷ θρόνῳ παρὰ τῶν κατὰ καιροὺς ἀρχιερατευόντων ἐν Κωνσταντινουπόλει, σῶα καὶ ἀπαράθραυστα διαφυλάττειν ἐπαγγελλόμεθα. τὸ γὰρ διαμέσου γεγονὸς σχίσμα καρδιακῇ διαθέσει καὶ ὁλοψύχῳ γνώμῃ ἀπαναινόμενοι συναρμολογοῦμεν καὶ συμβιβάζομεν ἑαυτοὺς τῇ σειρᾷ τῶν ἀρχιερέων ἐκείνων, οἵτινες πρὸ τοῦ σχίσματος τῷ ἀποστολικῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης τὴν ἑαυτῶν ὑπακοὴν κανονικῶς καὶ ἐνθέσμως ἐφύλαττον, καὶ οὐδέν τι οὐδόλως ἀτέλεστον ἀφεῖναι διαβεβαιούμεθα τῶν ὅσα οἱ πρὸ τοῦ σχίσματος ἐκεῖνοι θεῖοί τε καὶ ἅγιοι βασιλεῖς τῷ ἀποστολικῷ θρόνῳ ἀπονενεμηκότες ἐπεκύρωσάν τε καὶ ἐβεβαίωσαν, ἔτι γε μὴν καὶ οἱ ἐν ταῖς ἱεραῖς συνόδοις πατέρες ἡμῶν εἰς ὑπακοὴν αὐτῷ ἐπεδείκνυντο, ἀλλὰ διατηρῆσαι πρὸς τὸν ἀποστολικὸν αὖθις διαβεβαιούμεθα θρόνον ἀπαραθραύστως τε καὶ ἀπαρατρώτως τὰ πάντα πρεσβεῖά τε καὶ προνόμια, ἅπερ οἱ πρὸ τοῦ σχίσματος σεπτοί τε καὶ ἀοίδιμοι βασιλεῖς καὶ θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι πρὸς τὸ πρωτεῖον τοῦ ἀποστολικοῦ θρόνου εἰς ὑπακοὴν αὐτῷ ἐπεδείκνυντο, ὅτι δηλαδὴ ἡ αὐτὴ ἱερὰ καὶ ἁγία τῆς Ῥώμης ἐκκλησία ἄκρον καὶ τέλειον πρωτεῖον καὶ ἀρχὴν ἐπὶ πᾶσαν τὴν καθολικὴν ἐκκλησίαν κατέχει, ἣν ἑαυτῇ ἀπ' αὐτοῦ τοῦ κυρίου ἐν τῷ μακαρίῳ Πέτρῳ τῷ τῶν ἀποστόλων ἄρχοντι ἢ τῇ κορυφῇ, οὗ ὁ τῆς Ῥώμης ἀρχιερεύς ἐστι

διάδοχος, μετὰ πλήρους ἐξουσίας παραδέξασθαι ἀληθῶς καὶ ταπεινῶς ἀναγνωρίζομεν, καὶ καθὼς παρὰ τὰς ἄλλας κρατεῖται τῆς πίστεως τὴν ἀλήθειαν διεκδικεῖν, οὕτως καὶ ἐάν τινες περὶ τῆς πίστεως ἀναφύωνται συζητήσεις, τῇ ταύτης χρεὼν κρίσει διορίζεσθαι, εἰς ταύτην δύναται καὶ βαρυνόμενος ἕκαστος ἐν πράγμασι τοῖς εἰς τὴν αὐλὴν τὴν ἐκκλησιαστικὴν ἀνήκουσιν ἐγκαλεῖν καὶ ἐν πάσαις ταῖς αἰτίαις ταῖς πρὸς δοκιμασίαν ἐκκλησιαστικὴν ἀφορώσαις πρὸς ταύτης δύναταί τις ἀνατρέχειν τὴν κρίσιν, καὶ ταύτῃ πᾶσαι αἱ ἐκκλησίαι ὑπόκεινται, καὶ τούτων οἱ ἀρχιερεῖς ὑπακοὴν καὶ αἰδῶ ταύτῃ ὀφείλουσι· πρὸς ταύτην δὲ οὕτω τὸ τῆς ἐξουσίας πλήρωμα συνίσταται, ὅτι καὶ ἅπερ αἱ ἄλλαι ἐκκλησίαι καὶ αἱ πατριαρχικαὶ ἐξαιρέτως κατὰ διαφόρους καιροὺς προνόμια ἔλαβον διὰ θεσπισμάτων τῶν ἀοιδίμων καὶ ἁγίων βασιλέων ἐκείνων καὶ κανονικῶν θεσμῶν καὶ διατυπώσεων τῶν ἱερῶν καὶ θείων συνόδων, αὐτὴ ἡ τῆς Ῥώμης ἐκκλησία ταῦτα ἐπεκύρωσε καὶ ἐπεβεβαίωσε, καὶ οὐκ ἄλλως ἔσχον τὸ στέργον τὰ τῶν ἐκκλησιῶν τοιαῦτα προνόμια, εἰ μὴ αὐτὴ ἡ τῆς Ῥώμης ἐκκλησία τὴν οἰκείαν ἐπὶ τούτοις ἐπίκρισιν καὶ ψῆφον ἐξήνεγκε, τοῦ ἰδίου πλὴν πρεσβείου τὸ μὲν ἐν ταῖς γενικαῖς συνόδοις, τὸ δὲ καὶ ἔν τισι ἄλλαις ἀεὶ σωζομένου. καὶ περὶ μὲν τῆς ἀπαρνήσεως τοῦ σχίσματος καὶ τοῦ ἀναγνωρισμοῦ τοῦ πρωτείου τοῦ ἀποστολικοῦ θρόνου τοσαῦτα. ἐπεὶ δὲ ὁ πολὺς τοῦ σχίσματος χρόνος ὑπόληψίν τισι ψευδῆ τε καὶ ματαίαν ὑπέτεινεν, ὡς ἔστι τις διαφορὰ δόγματος ἐφ' ἑκάτεραις ταῖς ἐκκλησίαις διὰ τὴν ἐν τῷ συμβόλῳ γενομένην προσθήκην παρὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας, δεῖ πάντως καὶ λίβελλον πίστεως ἐκθέσθαι ἡμᾶς, ἐξ οὗπερ τὸ σὸν θεομεγάλυντον ὕψος καὶ πᾶσα ἡ ῥωμαϊκὴ ἐκκλησία διαγνώσεται, ὡς οὐδεμία διαφορὰ πίστεώς ἐστι τοῖς τε τὸ σύμβολον τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ἀναγινώσκουσι, τοῖς τε τὸ σύμβολον τῆς ἐν Κωνσταντινουπόλει δευτέρας συνόδου ἀνακηρύττουσι καὶ τοῖς αὐτὸ τοῦτο τὸ σύμβολον τὸ παρὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας ἀναγινωσκόμενον μετὰ προσθήκης σεβαζομένοις· πιστεύομεν γὰρ εἰς ἕνα θεὸν, ἀγέννητον πατέρα, παντοκράτορα, ἀθάνατον, ἀόρατον, ἀψηλάφητον, τὸ πᾶν πληροῦντα καὶ ὑπὲρ τὸ πᾶν ὄντα, δημιουργὸν πάσης κτίσεως ὁρατῆς καὶ ἀοράτου, σωματικῆς καὶ ἀσωμάτου, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, λόγον μονογενῆ, υἱὸν ἀΐδιον πατρὸς, ἀρχὴν ἐξ ἀρχῆς, φῶς ἐκ φωτὸς, θεὸν ἐκ θεοῦ, παντοκράτορα ἐκ παντοκράτορος,

ἴσον ἀπαραλλάκτως τῷ γεγεννηκότι πατρὶ, καθὼς αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις παρέστησε λέγων· „ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα,“ ὃς πρὸ πάντων τῶν αἰώνων γεννηθεὶς ἄφραστον καὶ ἀπερινόητον ἔχει τὴν γέννησιν· τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται; τὰ ἱερὰ φησὶ λόγια, ὅπερ ἐστὶν, ὅτι οὐδεὶς, ὃς ἐν τῇ συντελείᾳ τῶν αἰώνων κατῆλθεν ἀχωρίστως ἐκ τῶν πατρικῶν κόλπων ἐπὶ τὴν ἄχραντον καὶ ἀειπάρθενον Μαρίαν, καὶ τὴν ἡμετέραν ἐξ αὐτῆς ἀνείληφε φύσιν, σάρκα δηλονότι ἀνθρωπίνην μετὰ ψυχῆς λογικῆς τε καὶ νοερᾶς, οὐ κατὰ φαντασίαν, ἀλλὰ κατὰ ἀλήθειαν, οὔτε κατὰ τὴν ἄνω καὶ ἄχρονον γέννησιν υἱοθετηθεὶς, οὔτε κατὰ τὴν κάτω καὶ χρονικήν· γνήσιος γὰρ ὢν καὶ ἀληθὴς υἱὸς τοῦ θεοῦ, γνήσιος καὶ ἀληθὴς καὶ τῆς ἀειπαρθένου Μαρίας ὁ αὐτὸς υἱὸς ἐχρημάτισε σάρκα προσλαβὼν ἐξ αὐτῆς, ὁρατὴν ὁ ἀόρατος, θνητὴν ὁ ἀθάνατος, παθητὴν ὁ ἀπαθὴς, ψηλαφητὴν ὁ ἀψηλάφητος, ἐν ᾗ σαρκὶ καὶ τὸ ὑπὲρ ἡμῶν ἑκουσίως κατεδέξατο πάθος ἀληθεῖ σαρκὸς πάθει, ἀποθανὼν δὲ καὶ ταφεὶς καὶ κατελθὼν ἐν κατωτάτω καὶ τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς ἀναστὰς ἀπὸ τῶν νεκρῶν ἀληθεῖ σαρκὸς ἀναστάσει, μετὰ τεσσαράκοντα ἡμέρας τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως ἀνελήφθη εἰς τοὺς οὐρανοὺς σὺν τῇ σαρκὶ, ᾗ ἀνέστη, καὶ ψυχῇ, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς, εἴσοδον τῇ οὐρανίῳ βασιλείᾳ ἡμῶν χαρισάμενος, ὃς καὶ ἐλεύσεται πάλιν κριτὴς ζώντων καὶ νεκρῶν, ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πιστεύομεν ὡσαύτως καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ πάντα ἐρευνῶν καὶ τὰ βάθη τοῦ θεοῦ, ὅπερ φυσικῶς ἐνυπάρχον τῷ θεῷ καὶ πατρὶ καὶ οὐσιωδῶς ἐμπεπηγὸς, ἵν' οὕτως εἴπωμεν, καὶ ἀμερίστως ἐξ αὐτοῦ προχωροῦν φυσικῶς ἐνυπάρχει καὶ τῷ υἱῷ καὶ οὐσιωδῶς αὐτῷ ἐμπέπηγε καὶ ἀμερίστως ἐξ αὐτοῦ προχωρεῖ· προχεῖται μὲν γὰρ, ἤγουν ἐκπορεύεται ὥσπερ ἀπὸ πηγῆς τοῦ θεοῦ καὶ πατρὸς, προχεῖται δὲ καὶ παρ' αὐτοῦ τοῦ υἱοῦ ὥσπερ ἀπὸ πηγῆς, καθάπερ ἀμέλει τοι ἐξ αὐτοῦ τοῦ θεοῦ καὶ πατρός. ἀλλ' εἰ καὶ ὁ πατὴρ πηγὴ τοῦ πνεύματός ἐστι καὶ ὁ υἱὸς πηγὴ τοῦ πνεύματός ἐστιν, ἀλλ' οὐχὶ δύο πηγαὶ τοῦ πνεύματος ὁ πατήρ εἰσι καὶ ὁ υἱὸς, μίαν δὲ πηγὴν τοῦ πνεύματος τὸν πατέρα καὶ τὸν υἱὸν ἡ εὐσεβὴς ἔννοια ἔχει, καὶ διὰ τοῦτο κοινὸν πατρὸς καὶ υἱοῦ τὸ ἅγιον πνεῦμα οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι τεθεολογήκασιν· ὥσπερ γὰρ ἐκ τῆς οὐσίας τοῦ πατρὸς φυσικῶς τὸ πνεῦμά ἐστιν, οὕτω καὶ ἐκ τῆς οὐσίας τοῦ

υἱοῦ φυσικῶς τὸ πνεῦμά ἐστιν, καὶ ὥσπερ κατ' οὐσίαν ὑπάρχει τοῦ θεοῦ καὶ πατρὸς, οὕτω καὶ τοῦ υἱοῦ κατ' οὐσίαν ὑπάρχει, καὶ ὥσπερ ἴδιόν ἐστι τῆς οὐσίας τοῦ πατρὸς καὶ οὐκ ἔξωθεν ταύτης προελθὸν εἰς τὸ εἶναι, οὕτω καὶ τῆς οὐσίας τοῦ υἱοῦ ἴδιόν ἐστι καὶ οὐκ ἔξωθεν ταύτης προελθὸν εἰς τὸ εἶναι· τῶν φυσικῶν γὰρ ἀγαθῶν τοῦ θεοῦ καὶ πατρὸς οὐσιωδῶς ὑπάρχων ὁ υἱὸς κοινωνὸς ἔχει τὸ πνεῦμα, καθὼς ἡμῶν ἕκαστος τὸ ἴδιον ἐν ἑαυτῷ πνεῦμα συνέχει· καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχνων εἰς τὸ ἔξω προχεῖ αὐτὸ, διόπερ καὶ σωματικῶς αὐτὸ τοῖς μαθηταῖς ἐμπεφύσηκεν, ἐπεὶ καὶ πνοὴν υἱοῦ τὸ πνεῦμα οἴδαμεν, καὶ νοῦν Χριστοῦ τὸ πνεῦμα παρὰ τοῦ ἀποστόλου δεδιδάγμεθα. ὅθεν καὶ μίαν εἶναι καθολικὴν ἁγίαν ἀποστολικὴν ἐκκλησίαν ὁμολογοῦντες, ἐν ᾗ ἓν δίδοται βάπτισμα καὶ ἀληθινὴ ἄφεσις πασῶν τῶν ἁμαρτιῶν, τοῖς τρισὶ προσώποις, τῷ πατρὶ δηλονότι, τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, ἐν οἷς καὶ εἰς ἃ πρόσωπα βαπτιζόμεθα, δόξαν ἀναπέμπομεν ὡς ἑνὶ θεῷ, καὶ ταῦτα τρία εἰδότες τοῖς προσώποις, ἕνα θεὸν παντοδύναμον ταῦτα γινώσκομεν, ὅλην τε ἐν τριάδι τὴν θεότητα ὁμοφυᾶ καὶ ὁμοούσιον, συναΐδιον καὶ συμπαντοδύναμον, ἑνὸς ἀξιώματος, μιᾶς δυνάμεως, μιᾶς θελήσεως, μιᾶς ἐνεργείας, ἕκαστον τῶν τῆς ἁγίας τριάδος προσώπων θεὸν πλήρη καὶ τέλειον κηρύττοντες καὶ ὁμολογοῦντες, καὶ οὕτω πιστεύοντες δόξαν ἀναπέμπομεν τῷ πατρὶ, δόξαν προσφέρομεν τῷ υἱῷ, δόξαν τῷ ἁγίῳ προσάγομεν πνεύματι. πιστεύομεν ἀληθῆ ἀνάστασιν τῆς ἡμετέρας σαρκὸς, ἣν ἐν τῷ παρόντι βίῳ φοροῦμεν, καὶ τὴν μέλλουσαν ζωὴν αἰώνιον ἐκδεχόμεθα. πιστεύομεν ὡσαύτως τὸν αὐτὸν καὶ ἕνα θεὸν ἀρχηγὸν εἶναι καὶ κύριον παντοκράτορα τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, τῶν προφητῶν τε καὶ ἀποστόλων, τὸν ἐν τριάδι ἕνα ἐπιγινώσκομεν θεὸν, εὐλογοῦντες νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ ταῦτα μὲν ἐς τοσοῦτον. ἐπεὶ δὲ ἡ ἁγία ἐκκλησία τῆς Ῥώμης διά τινας διαφόρους πλάνας παρά τινων μὲν ἐξ ἀγνοίας, παρά τινων δὲ ἐκ κακίας εἰσαχθείσας λέγει καὶ κηρύττει τοὺς μετὰ τὸ βάπτισμα εἰς ἁμαρτίας ὀλισθαίνοντας μὴ ἀναβαπτίζεσθαι, ἀλλὰ διὰ ἀληθοῦς μετανοίας τῶν ἰδίων δύνασθαι λαμβάνειν συμπάθειαν ἁμαρτιῶν, καὶ ἐὰν οἱ ἀληθῶς μετανοοῦντες ἐν ἀγάπῃ ἀποχωρήσωσι πρὸ τοῦ ἀξίοις καρποῖς μετανοίας περὶ τῶν πλημμεληθέντων τὸ ἱκανὸν ποιῆσαι ἢ τῶν ἁμαρτηθέντων, τούτων τὰς ψυχὰς πυρὶ καθαρτηρίῳ μετὰ θάνατον καθαρίζεσθαι, πρὸς δὲ τὸ τὰς

ἐντεῦθεν τιμωρίας ἀνακουφίζεσθαι ὠφελεῖν αὐτοὺς τῶν ζώντων πιστῶν τὴν συγκρότησιν, λειτουργιῶν ἱεροτελεστίας, προσευχὰς καὶ ἐλεημοσύνας καὶ ἄλλα εὐσεβείας ἔργα τὰ παρὰ τῶν πιστῶν ὑπὲρ ἄλλων πιστῶν γίνεσθαι εἰθισμένα κατὰ τὴν τῆς ἐκκλησίας παράδοσιν, καὶ τούτων μὲν τὰς ψυχὰς τῶν μετὰ τὸ ἱερὸν βάπτισμα λαβεῖν εἰς μηδένα ἁμαρτίας μῶμον ἐπιδραμόντων κἀκείνας τὰς μετὰ τὸ βάπτισμα ἐφελκυσάσας ἁμαρτίας μῶμον, ἂν ἢ ἐν τοῖς οἰκείοις μένουσαι σώμασιν ἢ μετὰ τὴν τούτων ἀπέκδυσιν, ὡς ἀνωτέρω εἴρηται, καθαρισθήσονται, παραυτίκα εἰς τὴν οὐράνιον βασιλείαν ἀνάγεσθαι, ἐκείνων δὲ τὰς ψυχὰς τῶν ἐν θανασίμῳ ἁμαρτίᾳ ἢ μετὰ μόνης τῆς προπατορικῆς ἀποχωρησάντων παραυτίκα εἰς τὸν ᾅδην καταβαίνειν, κολάσεις ἀνίσους ὑποστησομένας, καὶ ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως πάντες ἄνθρωποι πρὸ τοῦ βήματος τοῦ Χριστοῦ μετὰ τῶν ἰδίων σωμάτων φανήσονται, ἀποδώσοντες περὶ τῶν οἰκείων πράξεων λόγον· ἐπεὶ ταῦτα ἡ ἁγία ἐκκλησία τῆς Ῥώμης οὕτω λέγει τε καὶ κηρύττει, δεχόμεθα ταῦτα καὶ καθομολογοῦμεν, ὅτι καὶ αἱ τῶν ἁγίων πατέρων θεῖαι γραφαὶ ταῦτα διαλαμβάνουσι. ἐπεὶ δὲ αὖθις πρὸς τοῖς ἀναγεγραμμένοις ἡ ἁγία ἀποστολικὴ ἐκκλησία τῆς Ῥώμης λέγει καὶ κηρύττει καὶ ὅτι ἑπτά εἰσιν ἐκκλησιαστικαὶ ἱεροπραξίαι, τὸ βάπτισμα, περὶ οὗ εἴρηται ἄνω, τὸ τῆς βεβαιώσεως χρίσμα, ὃ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν οἱ ἐπίσκοποι φέρουσι, χρίοντες τοὺς ἀναγεννωμένους, ἡ μετάνοια, ἡ εὐχαριστία, ἡ ἱερὰ τάξις, ὁ γάμος καὶ τὸ ἔσχατον χρίσμα, ὃ κατὰ τὴν διδασκαλίαν τοῦ μακαρίου Ἰακώβου τοῖς ἀσθενέσιν ἀποδίδοται, λέγομεν καὶ περὶ τούτων ταῦτα· τὸ βάπτισμα καὶ δεχόμεθα τοῦτο καὶ καθομολογοῦμεν ὡς ἅγιον. τὸ τῆς βεβαιώσεως καὶ εἰ παρὰ μὲν τῇ ἐκκλησίᾳ τῆς Ῥώμης διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μόνοι οἱ ἐπίσκοποι ἐκτελοῦσι, χρίοντες τοὺς ἀναγεννωμένους, παρ' ἡμῖν δὲ ἀδιαφόρως οἱ ἀρχιερεῖς καὶ πρεσβύτεροι τοῦτο ποιοῦσιν, ἀλλ' ἡμεῖς τὸ παρ' ἡμῖν ἀνέκαθεν κρατῆσαν ἔθος ἐπὶ τῇ τοιαύτῃ τάξει τηροῦντες τὸ παρὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας ἐπὶ ταύτῃ γινόμενον ἁγιαστικὸν καὶ τελειοποιὸν εἶναι ὁμολογοῦμεν. τὴν μετάνοιαν καὶ ταύτην ἀσπασίως καθομολογοῦμέν τε καὶ δεχόμεθα. τὴν εὐχαριστίαν, καὶ φαμέν, ὅτι τὸ τῆς εὐχαριστίας ἱερούργημα παρὰ τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς Ῥώμης ἐξ ἀζύμου ἐκτελούμενον ἄρτου κατὰ τὸ ἀρχαῖον ἔθος καὶ παρ' αὐτῆς ἀνέκαθεν πρεσβευόμενον ἐπίσης τῷ παρ' ἡμῖν τελουμένῳ

ἅγιον λέγομεν εἶναι ἀδιστάκτως, πιστεύοντες τὸν αὐτὸν ἄζυμον ἄρτον ἐν αὐτῇ τῇ ἱεροτελεστίᾳ τῆς εὐχαριστίας ἀληθῶς μετουσιοῦσθαι εἰς σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὸν οἶνον εἰς αἷμα αὐτοῦ διὰ τῆς τοῦ παναγίου πνεύματος δυνάμεώς τε καὶ ἐνεργείας, παρ' ἡμῖν δὲ πάλιν ἐξ ἐνζύμου ἐκτελούμενον ἄρτου, ἅγιον καὶ τοῦτο γινώσκομεν, ὃ καὶ τηροῦντες ὡς ἀρχῆθεν ἡμῖν παραδεδομένον, πιστεύομεν ὁμοίως τὸν αὐτὸν ἄρτον ἀληθῶς μετουσιοῦσθαι εἰς σῶμα καὶ τὸν οἶνον εἰς αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῆς, ὡς εἴρηται, τοῦ παναγίου πνεύματος δυνάμεως καὶ ἐνεργείας. τὴν ἱερὰν τάξιν καὶ ταύτην ἀσπασίως καθομολογοῦμέν τε καὶ δεχόμεθα· τὸν γάμον, περὶ οὗ κρατεῖ ἡ αὐτὴ ἐκκλησία τῆς Ῥώμης, ὅτι οὔτε εἷς ἀνὴρ πολλὰς γυναῖκας ὁμοῦ, οὔτε μία γυνὴ ὁμοῦ ἔχειν παραχωρεῖται πολλοὺς ἄνδρας, διαλυθέντος δὲ τοῦ νομίμου γάμου ἀπὸ θανάτου θατέρου τῶν ὁμοζύγων, δευτέρους καὶ τρίτους ἐντεῦθεν γάμους κατὰ διαδοχὴν θεμιτοὺς εἶναι λέγει, καὶ ἐμποδισμὸς κανονικὸς ἐξ αἰτίας τινὸς οὐ προσίσταται· δεχόμεθα καὶ τοῦτον τοιουτοτρόπως καὶ περὶ τούτου τὰ αὐτὰ φαμὲν καὶ ἡμεῖς. τὸ ἔσχατον χρίσμα, καὶ δεχόμεθα καὶ τοῦτο τοῖς ἄλλοις ὁμοίως, ὃ καὶ παρ' ἡμῖν ἐκτελούμενον ἑπταπάπαδον ὀνομάζεται, ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, ἐπεὶ ταῦτα πάντα οὕτως πρεσβεύει τε καὶ κηρύττει ἡ ῥηθεῖσα ἁγία ἐκκλησία τῆς Ῥώμης, πιστεύομεν καὶ λέγομεν, ὅτι εὐσεβῶς καὶ ὀρθοδόξως καὶ ἀληθῶς διδάσκει καὶ κηρύττει ταῦτα ἡ ἁγία ἐκκλησία τῆς Ῥώμης, πλὴν καὶ οὕτως ὀφείλομεν ἐμμένειν ἡμεῖς ἀπαραλλάκτως ἐπὶ τοῖς ἀρχῆθεν κρατήσασι παρὰ τῇ ἡμετέρᾳ ἐκκλησίᾳ ἐθίμοις. ταῦτα πάντα τὰ ἀναγεγραμμένα εἰς βεβαίωσιν πληρεστάτην ἐκθέμενος τῆς τοῦ σχίσματος ἀπαρνήσεως καὶ τῆς καθαρᾶς καὶ ἀληθοῦς ἡμῶν ὑπακοῆς πρὸς τὸ πρωτεῖον τῆς ῥωμαϊκῆς ἐκκλησίας καὶ εἰς παράστασιν καὶ ἀπόδειξιν τοῦ συμφωνεῖν πληρεστάτως τε καὶ ἀνελλιπῶς τὴν καθ' ἡμᾶς ἐκκλησίαν κατὰ τὴν τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἔννοιαν τῇ ἁγίᾳ καὶ ἀποστολικῇ μητρὶ πασῶν τῶν ἐκκλησιῶν, ἐκκλησίᾳ τῆς Ῥώμης, τῇ ἡμετέρᾳ βούλλῃ συνήθως ἐπικυρώσαμεν κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς πέμπτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ πέμπτου ἔτους ἐν δευτέρῳ ἔτει τῆς ἀρχιερατείας ἡμῶν †.

† Ἰωάννης ἐλέῳ θεοῦ πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης †.

Διὰ τοῦ χαρτοφύλακος Κωνσταντίνου.

VIII. 6864 (1355) decembri ind. VIII.

Imperator Ioannes Palaeologus, ut impetret auxilia a papa Innocentio VI., iurat se ei obtemperaturum, daturum operam uniendis ecclesiis, obsidem Romam missurum filium suum primogenitum Manuelem etc.

† Ἐγὼ Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος, ὀμνύω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, ἁψάμενος τῶν ἁγίων γραφῶν, καὶ μὰ τὴν ἁγίαν τριάδα, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἕνα ἀληθῆ θεὸν τὸν τρισυπόστατον καὶ μὰ τὸν Ἰησοῦν Χριστὸν τὸν θεὸν ἡμῶν καὶ σωτῆρα καὶ μὰ τὴν ὑπεραγίαν θεοτόκον καὶ μὰ τὸν ἅγιον καὶ ζωοποιὸν σταυρὸν τοῦ Χριστοῦ καὶ μὰ τοὺς ἁγίους ἀποστόλους καὶ πάντας τοὺς ἄλλους ἁγίους, ἵνα ἐκτὸς δόλου, ἀπάτης καὶ σφάλματος καθ᾽ ὅλην μου τὴν ἰσχὺν καὶ τὴν δύναμιν καὶ κατὰ πᾶσάν μου τὴν ἐπιχείρησιν τηρήσω βεβαίως καὶ ἐξ ὁλοκλήρου καὶ πληρώσω ἐγώ τε αὐτὸς καὶ παρὰ τῶν ἄλλων ποιήσω πληρωθῆναι καὶ φυλαχθῆναι πάντα ταῦτα καὶ ἕκαστα τὰ ἑπόμενα, ἅπερ ὑπεσχέθην τῷ αἰδεσιμωτάτῳ ἐν Χριστῷ πατρί, ἀρχιεπισκόπῳ Σμύρνης, κυρῷ Παύλῳ, τῷ ὀνόματι καὶ δικαίῳ τοῦ ἁγιωτάτου ἐν Χριστῷ πατρὸς καὶ δεσπότου κῦρ Ἰννοκεντίου, θείᾳ προνοίᾳ τῆς ἱεραγίας ῥωμαϊκῆς καὶ καθολικῆς ἐκκλησίας πάπᾳ ἕκτῳ, καὶ οὕτως ὁ θεὸς καὶ πάντες οἱ ἅγιοι αὐτοῦ βοηθήσαιεν ἐμοί, ὥσπερ ἐγὼ φυλάξω καὶ ἐκπληρώσω καὶ φυλαχθῆναι παρὰ τῶν ἄλλων ποιήσω πάντα καὶ ἕκαστα τὰ ἑπόμενα. ἐν πρώτοις, ἵνα ὦ πιστὸς καὶ ὑπήκοος εἰς σέβας τε καὶ εὐμένειαν τῷ μακαριωτάτῳ πατρὶ καὶ δεσπότῃ κυρῷ Ἰννοκεντίῳ, τῆς ῥωμαϊκῆς καὶ καθολικῆς ἐκκλησίας, ἀξίᾳ θεοῦ προνοίᾳ ἄκρῳ ἀρχιερεῖ, καὶ τοῖς αὐτοῦ διαδόχοις, καὶ διατηρῶ καὶ ἐκπληρῶ τὴν ὀφειλομένην ὑπακοήν τε καὶ τὸ σέβας πρός τε αὐτὸν τὸν ἁγιώτατον δεσπότην τὸν πάπαν καὶ τοὺς αὐτοῦ διαδόχους, καὶ δέχωμαι τοὺς δελεγάτους αὐτοῦ καὶ ἀποκρισιαρίους μετὰ παντὸς σεβάσματος καὶ εὐμενείας. ἔτι ἵνα ποιήσω καθ᾽ ὅλην μου τὴν ἰσχὺν καὶ τὴν ἐπιχείρησιν, ἵνα πᾶς ὁ λαὸς ὁ ὑπὸ τὴν ἡμετέραν βασιλείαν καθεστηκὼς καὶ τῇ ἡμετέρᾳ ἐπικρατείᾳ ὑποκείμενος, εἴτε λαϊκός, εἴτε κληρικός, ὁποίας δήποτ᾽ ἂν εἶεν διαγωγῆς, καταστάσεώς τε καὶ ἀξιώματος, ὦσι πιστοί, ὑπήκοοι, σεβαστικοί

τε καὶ εὐμενεῖς αὐτῷ τῷ δεσπότῃ καὶ ἄκρῳ ἀρχιερεῖ καὶ τοῖς αὐτοῦ διαδόχοις. ἐπεὶ δὲ τὸ πολὺ τοῦ καιροῦ ἐσκλήρυνέ τε καὶ ἐβάρυνε τὰς καρδίας τοῦ λαοῦ, καὶ μόλις ἂν δύναιντο τῶν εἰωθότων ἐκσπασθῆναι καὶ διὰ καινῆς ὁδοῦ χωρῆσαί τε καὶ βαδίσαι, εἰ μὴ μετὰ τρόπου σοφίας καὶ ῥυθμῷ συνέσεως, τὸν ἑπόμενον τουτονὶ τρόπον ἀπεφηνάμην, ἐπεξείργασμαί τε καὶ κατέστησα μετ' αὐτοῦ τοῦ αἰδεσίμου ἐν Χριστῷ πατρὸς, ἀρχιεπισκόπου Σμύρνης, καὶ μετὰ τοῦ οἰκείου τῆς βασιλείας μου μεγάλου ἑταιρειάρχου, κυροῦ Νικολάου τοῦ Σιγηροῦ, δι' ὧν ἐμαυτὸν ποιήσοντα, φυλάξοντά τε καὶ ἐκπληρώσοντα τὰ προρρηθέντα ὑπεσχέθην τε καὶ ἐπήγγελμαι, τουτέστιν ἵνα ἐπαναπέμψῃ ὁ προειρημένος ἁγιώτατος πατὴρ αὐτὸν τὸν ἀρχιεπίσκοπον Σμύρνης καὶ τὸν προδηλωθέντα οἰκεῖον ἡμῖν μετὰ κατέργων τριῶν, καὶ ὅταν ἔλθωσιν οὗτοι εἰς τὴν Κωνσταντινούπολιν, μὰ τὸν ὅρκον, ὃν ἐποίησα, ὑπόσχομαι δοῦναι τὸν υἱόν μου, τὸν ἐνδοξότατον καὶ πανευτυχέστατον δεσπότην, κῦρον Μανουὴλ τὸν Παλαιολόγον, τῷ διαληφθέντι ἀρχιεπισκόπῳ, τοῦτον δὲ ἄξει οὗτος εἰς αὐτὸν τὸν δεσπότην ἡμῶν τὸν πάπαν μετὰ ἑνὸς κατέργου, ἀφήσει μοι δὲ κάτεργα δύο, ἁρματώσει δὲ καὶ ἕτερα δύο εἰς τὰ μέρη ταῦτα, καὶ ἀφήσει ταῦτα ὑπὸ τὸν ἡμέτερον ὁρισμὸν εἰς δεφένδευσιν τῶν μερῶν τούτων. ἔτι ἵνα ὁ δεσπότης ὁ πάπας τάχιον ὅσον δύναται μετὰ τὸ λαβεῖν τὸν υἱόν μου ἐν ταῖς οἰκείαις χερσὶν ἀποστείλῃ μοι σκέρια πεντεκαίδεκα μετὰ καβαλλαρίων τετρακοσίων καὶ ἄλλους ἑκατὸν καβαλλαρίους μετὰ καραβίων καὶ χιλίους πεζοὺς, ὥστε γενέσθαι τὸ ὅλον φοσσάτον σκέρια πεντεκαίδεκα, κάτεργα λεπτὰ πέντε, καβαλλαρίους πεντακοσίους καὶ χιλίους πεζούς· ὅταν δὲ ἔλθοι τὸ τοιοῦτον φοσσάτον εἰς τὴν Κωνσταντινούπολιν διὰ τῆς χάριτος τοῦ θεοῦ, ἵνα ᾖ εἰς τὸν ἡμέτερον ὁρισμὸν τοῦ μάχεσθαι κατὰ τῶν Τούρκων καὶ τῶν ἐχθρῶν ἡμῶν τῶν Ῥωμαίων μέχρι καὶ μηνῶν ἕξ, ἐν ᾧ δὴ καιρῷ δώσει ὁ λεγάτος τοῦ δεσπότου ἡμῶν τοῦ πάπα εὐεργεσίας καὶ ἀξιώματα ἐκκλησιαστικὰ ἀνθρώποις Ῥωμαίοις ἱκανοῖς, οἵτινες ἂν ἑκουσίως εἰς ἕνωσιν καὶ ὑπακοὴν ἐπιστρέψωσι τῆς ἐκκλησίας, καθὼς ἂν κρεῖττον δόξει αὐτῷ τε καὶ ἡμῖν· ἔνθα δὲ μεταξὺ τῶν ἓξ μηνῶν μετὰ τὸ φθάσαι ἐν Κωνσταντινουπόλει τὸ φοσσάτον διὰ τῶν εὐεργεσιῶν καὶ χαρίτων οὐδαμῶς θελήσουσι ἑκουσίως οἱ Ῥωμαῖοι εἰς τὴν ὑπακοὴν ἐπιστρέψαι τῆς ἐκκλησίας, ὅπερ οὐ πιστεύομεν, ὑποσχόμεθα ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ

τότε, ἵνα ποιήσωμεν μετὰ τῆς βουλῆς τε καὶ διαγνώσεως τοῦ λεγάτου τοῦ δεσπότου τοῦ πάπα, ἵνα πάντη γένωνται ὑπήκοοι. ἔτι δώσομεν τῷ λεγάτῳ τοῦ δεσπότου ἡμῶν τοῦ πάπα ὁσπήτιον μέγα, ἐν ᾧ ἂν αὐτὸς μετὰ τῶν οἰκείων κατοικῇ, καὶ οὕτως ἀκολούθως ᾗ αὐτὸ τοῦ δεσπότου τοῦ πάπα καὶ τῶν λεγάτων αὐτοῦ εἰς τὸ διηνεκές. ἔτι δώσομεν αὐτῷ περικαλλῆ καὶ ἔντιμον ἐκκλησίαν, ἐν ᾗ αὐτὸς ὁ λεγάτος καὶ οἱ μετ' αὐτὸν ἐλευσόμενοι παρὰ τοῦ δεσπότου τοῦ πάπα ὡς ἐν ἰδίᾳ ἐκκλησίᾳ ἐκτελῶσι τήν τε ἐκκλησιαστικὴν ἀκολουθίαν καὶ τὰ θεῖα μυστήρια. ἔτι δώσω τῷ πρωτοτόκῳ μου υἱῷ ἕνα διδάσκαλον λατῖνον, ἵνα διδάσκῃ τοῦτον τά τε γράμματα καὶ τὴν λατινικὴν γλῶσσαν ἀπὸ βουλῆς τε καὶ γνώμης τοῦ προδηλωθέντος λεγάτου. ἔτι δώσω τρία μεγάλα ὁσπήτια, ἐν οἷς ἵνα κρατῶνται διδασκαλεῖα λατινικῶν γραμμάτων, ἐγὼ δὲ δώσω ἔργον ἐντελὲς καὶ ἐπίθαλψιν μετὰ καθαρᾶς καρδίας, ἵνα οἱ τῶν ἐνδόξων καὶ εὐπόρων Ῥωμαίων παῖδες ἀπέρχωνται ἐπὶ τῷ μανθάνειν λατινικὰ γράμματα. εἰ δὲ συμβῇ μὴ φυλάξαι με τὰ προρρηθέντα πάντα καὶ ἕκαστα, ὅπερ ἀπείη, καὶ ἀποστρεψάτω ὁ θεὸς τοσοῦτον κακὸν ἀπ' ἐμοῦ, ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ τότε τῇ βασιλικῇ ἀδείᾳ κρίνω ἐμαυτὸν ἀνάξιον τῆς βασιλείας, ἀποστερῶν ἐμαυτὸν τῶν βασιλικῶν δικαίων, καὶ μεταφέρω, δίδωμι, ἐκχωρῶ τὸ δίκαιον καὶ τὴν ἐξουσίαν τῆς τε βασιλείας καὶ τοῦ βασιλεύειν εἰς τὸν προρρηθέντα υἱόν μου καὶ ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ τότε καθιστῶ, ποιῶ, δημιουργῶ καὶ τάττω αὐτὸν εἰς βασιλέα τε καὶ αὐτοκράτορα τῶν Ῥωμαίων. ἔτι, εἴπερ συμβῇ τοῦτο, ὅπερ ἀπεύχομαι, ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ τότε δίδωμι, ἐκχωρῶ καὶ μεταφέρω τὸ δίκαιον τῆς πατρικῆς ἐξουσίας εἰς τὸν προειρημένον δεσπότην, τὸν ἄκρον ἀρχιερέα ἐπάνω τοῦ τοιούτου υἱοῦ μου, ὃν ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ τότε ὑποτάττω τῇ αὐτοῦ ἐξουσίᾳ, παρέχων αὐτῷ καὶ διδοὺς αὐτὸν εἰς υἱοθεσίαν κατὰ πάντα τρόπον καὶ τύπον, οἷς ἂν κρεῖττον ἀπὸ τῶν νόμων δύναμαι. ἔτι δίδωμι, ἐκχωρῶ καὶ παραδίδωμι ἐξουσίαν καὶ ἄδειαν αὐτῷ τῷ δεσπότῃ καὶ ἄκρῳ ἀρχιερεῖ, ἵνα δύνηται κτᾶσθαι, ἀπαιτεῖν, ἀναζητεῖν τε καὶ ἐπαίρειν τὴν βασιλείαν ἡμῶν ὑπὲρ τοῦ ῥηθέντος υἱοῦ μου ὡς ὑπὲρ ἀληθοῦς καὶ νομίμου βασιλέως καὶ διδόναι αὐτῷ γυναῖκα, παιδαγωγούς, φύλακάς τε καὶ ἐπιτρόπους μέχρι τοῦ παρὰ τῶν νόμων τεταγμένου χρόνου, καὶ ἵνα δύνηται τάττειν καὶ καθιστᾶν εἰς τὴν τοιαύτην βασιλείαν, ὡς εἰς βασιλείαν αὐτῷ ἀπὸ δικαίου ἀνήκουσαν τῷ

δικαίῳ καὶ ὀνόματι τοῦ προειρημένου υἱοῦ μου, ὃν ἀπὸ τοῦ νῦν ὑπὲρ τοῦ τότε τῆς ἰδίας ἡμῶν πατρικῆς ἐξουσίας λύομέν τε καὶ ἐλευθεροῦμεν καὶ εἰς πατρικὴν ἐξουσίαν κατὰ υἱοθεσίαν αὐτῷ τῷ δεσπότῃ τῷ πάπᾳ ὑποτάττομεν καὶ χαριζόμεθα, ἀποβαλλόμενοι πᾶσαν παραγραφὴν, ἣν ἂν κατὰ τῶν προρρηθέντων ἀντιτείνειν δυναίμεθα, καὶ νόμον καὶ δίκαιον, οἷς πρὸς ἡμετέραν ἀγωγήν τε καὶ βοήθειαν, εἴπερ οὐ φυλάξομεν καὶ πληρώσομεν τὰ προρρηθέντα, οἷοί τε ἂν ὦμεν. ἔτι εἴπερ συμβῇ, ἵνα ἔλθοι ὁ προρρηθεὶς ἀρχιεπίσκοπος μετὰ τριῶν κατέργων ἢ πλειόνων, καὶ οὐδὲν δώσομεν ἡμεῖς αὐτῷ τὸν δηλωθέντα υἱὸν ἡμῶν, ἵνα ἀγάγοι αὐτὸν εἰς τὸν δεσπότην ἡμῶν, τὸν ἄκρον ἀρχιερέα, ἐνόχους ἡμᾶς αὐτοὺς ποιοῦμεν καὶ πάντα τὰ ἀγαθὰ ἡμῶν καὶ πάντας τοὺς Ῥωμαίους ἡμῶν καὶ τὰ ἀγαθὰ αὐτῶν, ἵνα δύνηται ὅ τε δεσπότης ὁ πάπας καὶ οἱ ἄνθρωποι καὶ ἐπίτροποι αὐτοῦ ζητεῖν καὶ ἐπαίρειν ἐπάνω τῶν τοιούτων ἀγαθῶν τε καὶ ἀνθρώπων μέχρι καὶ τιμήματος φλωρίων τετρακισχιλίων ὑπὲρ ἑκάστου κατέργου, ὅπερ ἂν ὁ προρρηθεὶς ἀρχιεπίσκοπος καὶ ὁ δηλωθεὶς οἰκεῖος ἡμῖν ἀγάγοιεν εἰς τὴν Κωνσταντινούπολιν ἐν παντὶ τόπῳ καὶ ὑφ' ἑκάστῳ κριτῇ καὶ ἐκκλησιαστικῷ καὶ πολιτικῷ ἐν τῷ Γαλατᾷ, ἐν τῇ Ῥόδῳ, τῇ Χίῳ καὶ Κύπρῳ καὶ ἐν πᾶσι τοῖς ἄλλοις τόποις, μὴ ἐναντιουμένης παραγραφῆς τινος ἢ δικαίου, ᾧπερ ἂν ἢ ἡμεῖς ἢ οἱ ἡμέτεροι Ῥωμαῖοι δυναίμεθα βοηθεῖσθαι πρὸς τὸ μὴ ἀπεκβαλεῖν τὴν τοιαύτην τῶν φλωρίων ποσότητα· εἰ δὲ συμβῇ πληρῶσαί με πάντα τὰ ἀναγεγραμμένα, θέλω, ἵνα βοηθῇ μοι ὁ δεσπότης ὁ πάπας κατὰ πάντων τῶν ἐχθρῶν μου καὶ μάλιστα τῶν ἀπίστων μετὰ μείζονος φοσσάτου καὶ πλήθους χριστιανῶν, ὅπερ ἂν ἀνθίστασθαι δύναιτο τῷ τῶν ἀπίστων πλήθει καὶ διώκει(ν) αὐτοὺς ἀπὸ τῆς γῆς τῶν χριστιανῶν, ἣν ἀδίκως καθ' ἁρπαγὴν τῇ αὐτῶν ἀπιστίᾳ ὑπέταξαν. ἔτι ἵνα ὁ δεσπότης ἡμῶν ὁ πάπας προμηθεύσηται ἡμᾶς εἰς ἐξόδους γενησομένους καὶ ῥόγαν διδομένην εἰς τὸ φοσσάτον, ἐπεὶ ἡ βασιλεία μου οὐδαμῶς δύναται κατὰ τὸ παρὸν πολλὰς ἐξόδους ὑφίστασθαι. ἔτι ἵνα ὦ ἐγὼ ἀρχικὴ κεφαλὴ, σημαιοφόρος τε καὶ φλαμουλάριος τῆς ἁγίας μητρὸς ἐκκλησίας μετὰ καθαροῦ καὶ μεμιγμένου κράτους καὶ πλήρους ἐξουσίας ἐπάνω παντὸς τοῦ φοσσάτου τῶν χριστιανῶν, οἵτινες ἂν διαπεράσωσιν εἰς τὰ ἐνταῦθα τῆς θαλάσσης μέρη ἢ ῥογευθέντες παρὰ τῆς ἐκκλησίας ἢ παρ' ἄλλων, προστάγματι καὶ συγγνώμῃ τῆς ἐκκλησίας,

ἢ οἵτινες ἂν ἔλθοιεν ἑκουσίως ὑπὲρ σωτηρίας τῶν ἰδίων ψυχῶν. ἔτι εἴπερ συμβῇ ἵνα πληρώσω πάντα τὰ ἀναγεγραμμένα, ἵνα ὁ δεσπότης ἡμῶν ὁ πάπας ἐπαναπέμψῃ τὸν υἱόν μου μετὰ τιμῆς καὶ ἑτοιμασίας τῆς προσηκούσης. νοητέον δὲ, ὡς εἴπερ ἴσως τὰ ἀναγεγραμμένα πάντα καὶ ἕκαστα οὐδαμῶς πληρώσω, στερήσει δυνάμεως, οὐ θελήσεως, ἀπέλθω δὲ σωματικῶς εἰς αὐτὸν τὸν δεσπότην ἡμῶν τὸν πάπαν, τηνικαῦτα ἵνα ἐνέχηται ὁ δεσπότης ὁ πάπας δεφενδεύειν καὶ βοηθεῖν μοι ἐπὶ τῷ ἐπαναλαμβάνειν τὴν βασιλείαν μου, ὥσπερ ἔμελλε ποιήσειν ὑπὲρ τοῦ υἱοῦ μου εἰς τὴν αὐτοῦ παρουσίαν, ἐμοῦ σωματικῶς μὴ ἀπελθόντος, καὶ οὐδόλως ὀφθήσομαι ἐμπεπτωκὼς εἰς ζημίαν ἢ ἐναντιωθεὶς, εἴπερ ἀνάγκῃ ἀδυναμίας καὶ οὐ θελήσεως τὰ προρρηθέντα πάντα οὐ πληρώσω. εἰς ὧν πάντων ἀσφάλειαν καὶ καθαρότητα πληρεστάτην τὸ παρὸν ὁρκωμοτικὸν χρυσόβουλλον γενέσθαι προσέταξεν ἡ βασιλεία μου τῇ ἡμετέρᾳ χειρὶ γράμμασιν ἐρυθροῖς τὸν εἰωθότα τρόπον ὑπογραφὲν καὶ χρυσῇ βούλλῃ τῆς βασιλείας μου κάτωθεν ἀπῃωρημένῃ βεβαιωθέν. γέγονεν ἐν τῇ μεγάλῃ πόλει Κωνσταντινουπόλει ἐν τῷ ἡμετέρῳ τῶν Βλαχερνῶν ἱερῷ παλατίῳ ἔτει ἀπὸ τῆς τοῦ κόσμου συστάσεως ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ τετάρτῳ, ἀπὸ δὲ τῆς τοῦ κυρίου γεννήσεως χιλιοστῷ τριακοσιοστῷ πεντηκοστῷ πέμπτῳ, ἡμέρᾳ πεντεκαιδεκάτῃ τοῦ δεκεβρίου †.

† Ἰωάννης ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος

---

† Ego Ioannes in Christo deo fidelis imperator et moderator Romeorum Paleologus iuro ad sancta dei euangelia tactis sacrosanctis scripturis et per sanctam trinitatem, patrem et filium et spiritum sanctum, vnum uerum deum et tres personas et per Ihesum Christum deum nostrum et saluatorem et per virginem Mariam dei genitricem et per sanctam et viuificam crucem Christi et per sanctos apostolos et omnes alios sanctos, quod absque dolo, fraude et defectu toto meo posse omnibus uiribus meis et cuncto conatu seruabo firmiter et integre et implebo ego ipse et per alios faciam adimpleri et obseruari omnia ista et singula, que sequuntur, que promisi reuerendissimo in Christo patri

archiepiscopo Smirnensi domino Paulo nomine et uice sanctissimi in Christo patris et domini domini Innocentii, diuina prouidentia sacrosancte romane ac vniuersalis ecclesie pape sextj, et ita deus et omnes eius sancti me adiuuent, sicut ego obseruabo et adimplebo et faciam per alios obseruari et adimpleri omnia et singula, que sequuntur. In primjs, quod ero fidelis, obediens, reuerens et deuotus beatissimo patri et domino domino Innocentio, sacrocancte romane ac vniuersalis ecclesie ex digna dei prouidentia summo pontifici et eius successoribus, et obseruabo et percomplebo debitam obedientiam et reuerentiam ad ipsum sanctissimum papam et eius successores, et recipiam legatos et nuntios suos cum omni reuerentia et deuotione. Item, quod faciam toto posse meo et toto conatu, quod omnes populi sub nostro imperio constituti et nostre iurisdicioni subiecti, siue sint laici sine clerici, cuiuscumque conditionis et status aut dignitatis existant, erunt fideles, obedientes, reuerentes et deuoti eidem domino summo pontifici et eius successoribus. Et quia diuturnitas temporis indurauit et agrauauit animos populorum, et vix possent a consuetis retrahi et per uiam nouam incedere seu dirigi, nisi cum modo sapiencie et moderacione prudencie, istum modum, qui sequitur, deliberaui, tractaui et ordinaui cum eodem venerabili patre archiepiscopo Smyrnensi et cum dilecto familiari et megateriarchi imperij nostri, D. Nicolao Sygeros, per quos me facturum, obseruaturum et consecuturum predicta promisi et spopondi, videlicet quod predictus sanctissimus pater remittat eundem archiepiscopum Smirnensem et predictum familiarem nostrum cum galeis tribus, et quando ipsi uenerint in Constantinopolim, per iusiurandum, quod feci, promitto dare filium meum gloriosissimum, felicissimum dispoti dominum Manuelem Paleologum prefato domino archiepiscopo, quem ipse duceret ad predictum dominum nostrum papam cum una galea, et dimittet michi duas galeas, et alias duo armabit in partibus istis, et dimittet eas sub nostro precepto ad defensionem istarum partium. Item dominus noster papa sub celeritate, qua poterit, postquam filium meum habuerit in manibus suis, mittet michi vscheria quindecim cum equitibus quadringentis et alios centum equites cum nauibus et mille pedites, ita quod erit exercitus totus vscheria quindecim, galee suptiles quinque, equites quingenti et pedites mille; quando dictus exercitus applicuerit in Constantino-

polim per dei gratiam, erit ad nostrum preceptum pugnandi contra Turchos et Grecos inimicos nostros usque ad menses sex, in quo tempore legatus domini nostri pape dabit beneficia [et] dignitates ecclesiasticas personis sufficientibus grecis, que ad vnionem et obedientiam ecclesie sponte redibunt, secundum quod sibi et nobis melius uidebitur. Vbi uero infra sex menses, postquam exercitus in Constantinopolim applicuerit, per benignitatem et gracias Greci sponte ad obedienciam ecclesie noluerint redire, quod non credimus, promittimus ex nunc pro tunc, quod faciemus cum consilio et deliberatione legati domini nostri pape, quod omnino erunt obedientes. Item dabimus legato domini nostri pape palacium magnum, in quo ipse cum suis habitabit, et sic per consequens dictum palacium erit domini nostri pape et legatorum ipsius in perpetuum. Item dabimus sibi pulcram et venerabilem ecclesiam, in qua dictus legatus et alij, qui postea uenient a domino nostro papa, tamquam in propria ecclesia celebrabunt diuina officia et ecclesiastica sacramenta. Item dabo filio meo primogenito vnum magistrum latinum, qui docebit eum litteras et linguam latinam de consilio et voluntate predicti legatj. Item dabo hospicia tria magna, in quibus tenebuntur scole litterarum latinarum, et ego dabo operam et efficaciam et fauorem cum corde sincero, quod filij magnatum et potentum Grecorum ibunt addiscere litteras latinas. In casu, vbi predicta omnia et singula non obseruarem, quod absit et deus aduertat a me tantum malum, ex nunc pro tunc iudico auctoritate imperiali me indignum imperio, et priuo memet ipsum iure imperij, et transfero, do, cedo ius et potestatem imperij et imperandi in predictum filium meum, et ex nunc pro tunc constituo, facio, creo et ordino ipsum in imperatorem et moderatorem Grecorum. Item in predicto casu, quem deus aduertat, ex nunc pro tunc do, cedo, transfero ius patrie potestatis in predictum dominum nostrum summum pontificem super dictum filium meum, quem ex nunc pro tunc eius potestati subiicio, ipsum eidem in adoptionem tribuens et concedens omni modo et forma, quibus melius de iure possum. Item do, concedo et trado potestatem et auctoritatem eidem domino summo pontifici, quod possit acquirere, petere, requirere et capere imperium nostrum pro dicto filio nostro, tamquam pro uero et legitimo imperatore, et dare eidem filio meo vxorem, baiulos, tutores et curatores usque ad prefini-

tum tempus a iure, et possit de predicto imperio ordinare et disponere tamquam de imperio sibi de iure debito vice et nomine predicti filij nostri, quem ex nunc pro tunc a nostra propria et patria potestate eximimus et liberamus et in patriam potestatem per adoptionem eidem domino pape subicimus et donamus, renuntiantes omnibus exceptionibus, quas possemus contra predicta obicere, et omni iuri et legibus, quibus contra predicta non obseruanda et complenda possemus nos aliquo modo defendere seu tueri. Item in casu, ubi predictus archiepiscopus ueniret cum tribus galeis uel pluribus, et nos non daremus sibi dictum filium nostrum, ut duceret ipsum ad dominum nostrum summum pontificem, obligamus nos et omnia bona nostra et omnes nostros Grecos et bona eorum, quod dominus noster papa et sui nuntii seu procuratores possint capere et petere super dictis bonis et personis usque ad valorem quatuor milium florenorum pro qualibet galearum, quas predictus D. archiepiscopus et prefatus familiaris noster duxerint in Constantinopolim, in omni loco et sub quolibet iudice ecclesiastico seu ciuili in Peyra, Rodo, Chio et Cipro et omnibus [alijs] locis, non obstanti aliqua exceptione seu iure, quo uel nos uel nostri Greci possemus nos defendere ad non soluendum predictam summam florenorum. In casu, (vbi) omnia supradicta complerem, uolo, quod dictus dominus papa me adiuuet contra omnes inimicos meos et maxime infideles cum maiori exercitu et mu[ltitudine] Cristianorum, qui resistere possint multitudini infidelium et eos expellere de terris Cristianorum, quas iniuste per violenciam sue [infidelitati] subiecerunt. Item, quod dominus noster papa provideat nobis de expensis fiendis et de stipendijs erogandis pro aliqua parte exercitus, cum [imperium] nostrum pro presenti non posset multas expensas sustinere. Item quod ego sim principalis capitaneus, signifer et vexillarius sancte matris ecclesie cum mero et mixto imperio et plenaria potestate supra omnem exercitum Cristianorum, qui ad partes citramarinas transiuerint uel [stipendi]ati per ecclesiam uel per alios ex mandato et indulgencia ecclesie uel qui sponte uenerint pro salute animarum suarum. Item in casu, ubi ego [omnia] supradicta complerem, dominus noster papa remittet michi filium meum cum honore et apparatu conuenienti. Et est intelligendum, quod si forte supradicta omnia et singula non complerem pro eo, quod potencia et non uo-

luntas deficeret, et ego personaliter accederem ad ipsum dominum nostrum papam, in illo casu dominus noster papa teneatur defendere et adiuuare me ad recuperandum imperium meum, sicut pro filio meo fecisset, me ad eius presenciam personaliter non accedente, et non uidear in aliquam penam incidisse uel contrafecisse, si necessitate impotencie et non uoluntate supradicta omnia non complessem. Ad quorum omnium securitatem et euidenciam pleniorem presens sacramentale priuilegium aurea bulla munitum fieri iussit imperium nostrum litteris rubeis manu nostra propria more solito subscriptum et aurea bulla imperij nostri inferius appensa munitum. Actum in vrbe magne Constantinopolis in nostro sacro palacio Blachernarum anno a constitucione mundi sexto milleno octauo centeno sexagesimo quarto, a natiuitate autem domini millesimo trecentesimo quinquagesimo quinto, die quinta decima decembris. †

IX. (6878—1369) 7. octobris ind. VII.

Papa Urbanus V. iubet recipi fidei confessionem faciendam ab imperatore Ioanne Palaelogo, patriarcha Paulo et aliis Graecis.

In nomini domini amen. Nouerint uniuersi presentes litteras et instrumentum publicum inspecturi, quod ex^mi^ patres et domini, dei gratia Guliermus episcopus Ostiensis et Bernardus Basilicę XII. apostolorum et Franciscus ecclesię sanctę Sabinę presbyteri ac Rainaldus sancti Adriani diaconus cardinalis commissarij super infrascriptis per dominum Vrbanum papam V. deputati litteras eiusdem apostolicas sua bulla plumbea munitas tenore sequenti receperunt: Vrbanus episcopus seruus seruuorum dei venerabili fratri Guliermo episcopo Ostiensi et dulcissimis filijs Bernardo Basilicę XII. apostolorum et Francisco ecclesię sanctę Sabinę presbyteris et Rainaldo Adriani diacono salutem et apostolicam benedictionem. Cum magnificus princeps Iohannes imperator Gręcorum illustris nouiter ex deuotione et feruore catholicae fidei ad urbem accesserit, sanctam sedem apostolicam uisitaturus et eius ordinationi et mandatis in ijs, que dictam fidem concernunt, tamquam princeps catholicus perpetuo pariturus, nos uolentes eundem imperatorem in prima eius uisione ac receptione tamquam catholicum principem et alios Gręcos tam cleri-

cos et religiosos quam etiam prçlatos et laicos existentes cum eo, qui ad eiusdem ecclesię uenire uoluerunt unitatem professione dictę fidei ac iuramento et abiuratione secundum debitas formas, alias a prçclarç memorię Michaële Paleologo imperatore Grçcorum predecessoreque eiusdem imperatoris in simili casu seruatas, admissis ad pacis osculum et alias decenter et licite recipere et congruę honorificationis impendijs honorare, de vestra quoque sinceritate ad dictam fidem ac circumspectione gerentes in domino fiduciam plenariam, uobis et cuilibet vestrum recipiendi nomine nostro et dicte ecclesie ab eisdem imperatore ac Grçcis alijs ecclesiasticis et religiosis etiam quacunque prçlatione fungentibus huius professionem, iuramentum et abiurationem secundum formulas contentas in nostris apostolicis litteris, quas uobis cum presentibus destinamus, et exinde confici publica instrumenta et litteras eorumdem imperatorum et aliorum, qui profitebuntur et abiurabunt, sigillis signoque munitas, plenam concedimus auctoritate apostolica tenore presentium facultatem. Datum Viterbij nonis octobris pontificatus nostri anno septimo.

Iidem ex^mi patres ad premissa deputati reuerendum patrem dominum Paulum, patriarcham Constantinopolitanum, et dominum fratrem Nicolaum, episcopum Arenopolitanum, ac religiosum uirum fratrem Antonium de Athenis, ordinis fratrum minorum, scientes linguas et grammaticas grçcas et latinas, in hac parte interpretes assumpserunt, qui in manibus dicti domini Francisci cardinalis de consensu aliorum predictorum dominorum cardinalium recipientis ad sancta dei euangelia iurauerunt fideliter referre latina lingua uerba imperatoris predicti et aliorum Grçcorum, qui uenerant cum dicto imperatore et profiteri uolebant. Et ecce professionem imperatoris:

In nomine patris et filij et spiritus sancti. Amen.

Ego Iohannes in Christo deo fidelis imperator ac Romeorum moderator Palçologus spiritus sancti lumine illustratus, volens saluti animę nostrę prouidere, sponte ueni ad sacram romanam vrbem, sanctissimum papam dominum Vrbanum diuina prouidentia papam quintum et sanctam sedem apostolicam uisitaturus ac in eiusdem domini papę vel alterius seu aliorum ab eo in hac parte deputatorum manibus recogniturus et professurus fidem catholicam, quam sacrosancta Romana ecclesia ac

vniuersalis profitetur, tenet et docet, et circa perpetuam obseruantiam eiusdem fidei prefati domini papę et suorum successorum romanorum pontificum mandatis plenarie et efficaciter pariturus. Ideoque in presentia vestrum reuerendissimorum patrum Guliermj, episcopi Ostiensis, Bernardi Basilicę XII. apostolorum ac Francisci ecclesie sancte Sabine presbyterorum et Rainaldi sancti Adriani diaconi cardinalis commissarij super hoc a pręfato domino papa deputati ac venerabilis uiri eiusdem sedis notarij et testium infrascriptorum personaliter constitutus profiteor et credo sanctam trinitatem, patrem, filium et spiritum sanctum etc. *ut in litteris Michaëlis Palaeologi* (IV.) Vnde suprascriptam fidei ueritatem, prout plene acta est et fideliter exposita, veram, sanctam et orthodoxam fidem esse recognosco, eam accepto et corde et ore profiteor, ipsamque, prout veraciter eam tenet et fideliter docet et prędicat sacrosancta romana ecclesia, me inuiolabiliter seruaturum et in ea omni tempore perseueraturum, nec ab eà ullo tempore recessurum seu quoquomodo deuiaturum promitto, et abrenuntio omni scismati; primatum quoque ipsius sacrosancte romanę ecclesię, prout in pręmissa serie continetur, ad ipsius ecclesię obedientiam spontaneus ueniens, fateor et recognosco, accepto et sponte suscipio, et me omnia premissa tam circa fidei ueritatem quam circa dictę ecclesię primatum et ipsorum recognitionem, acceptionem, suscepcionem, obseruantiam et perseuerantiam seruaturum, pręstito corporali iuramento, promitto et confirmo, sic me deus adiuuet et hęc sancta dei euangelia. Quod si contra hęc aliquid sentire, confiteri aut aliud agere presumpsero, me scismaticum et anathematisatum eo ipso recognosco et seueritati sacrorum canonum subiacere. Ad certitudinem predictorum et cautelam maiorem presens iuramentum mysticum exposui instrumentum et bulla aurea munitum. Scriptum in antiqua Roma anno ab incarnatione dominj MCCCLXIX., indicione septima, die X. mensis octobris, presentibus reuerendo patre domino Paulo patriarcha Constantinopolitano et religioso viro fratre Antonio de Athenis interpretibus ad pręmissa exponenda electis, nostris r^mis patribus dominis cardinalibus commissarijs et dictis dominis cardinalibus authorizantibus dictumque imperatorem ab ipsis ad osculum pacis receptum et gremio sanctę romanę ecclesię aggregantibus, ut uerum catholicum christianum.

Sumptum de registris papalibus.

Ἐν ὀνόματι τοῦ κυρίου, ἀμήν. Γνωστὸν ἔστω πᾶσι τοῖς τὰ παρόντα γράμματα καὶ τὸ δημόσιον συμβόλαιον ὀψομένοις, ὅτι οἱ αἰδεσιμώτατοι πατέρες καὶ κύριοι, θεοῦ χάριτι Γουλιέρμος ἐπίσκοπος Ὀστιένσης καὶ Μπερνάρδος τῆς ἐκκλησίας τῶν ιβ' ἀποστόλων καὶ Φραντζίσκος τῆς ἐκκλησίας τῆς ἁγίας Σαβίνας πρεσβύτεροι καὶ Ῥαϊμοῦνδος τοῦ ἁγίου Ἀδριανοῦ διάκονος, καρδινάλιοι, ἐπίτροποι ἐπὶ τὰ ὑποτεταγμένα ἀπὸ τοῦ αὐθέντου Οὐρβανοῦ πάπα πέμπτου ὑποταχθέντες γράμματα τοῦ αὐτοῦ ἀποστολικὰ ἰδίᾳ βούλλᾳ μολιβδίνῃ κατωχυρωμένα ἐν ταύτῃ τῇ ἑπομένῃ περιλήψει ἐδέξαντο· Οὐρβανὸς ἐπίσκοπος, δοῦλος τῶν δούλων τοῦ θεοῦ, τῷ αἰδεσίμῳ ἀδελφῷ Γουλιέρμῳ ἐπισκόπῳ Ὀστιένσῃ καὶ τοῖς ἀγαπητοῖς υἱοῖς Μπερνάρδῳ τῆς ἐκκλησίας τῶν ιβ' ἀποστόλων καὶ Φραντζίσκῳ τῆς ἐκκλησίας τῆς ἁγίας Σαβίνας πρεσβυτέροις καὶ Ῥαϊμούνδῳ τοῦ ἁγίου Ἀδριανοῦ διακόνῳ σωτηρίαν καὶ ἀποστολικὴν εὐλογίαν. ἐπειδὴ ὁ μεγαλοπρεπὴς καὶ περιφανὴς ἄρχων Ἰωάννης βασιλεὺς τῶν Γραικῶν νεωστὶ ἐξ εὐλαβείας καὶ ζεούσης ἀγάπης περὶ τὴν καθολικὴν πίστιν εἰς τὴν μεγαλόπολιν παρεγένετο, τὴν ἁγίαν ἀποστολικὴν καθέδραν ἐπισκεψόμενος καὶ θεωρήσων καὶ τῇ διατάξει αὐτῆς καὶ τοῖς περὶ τὴν εἰρημένην πίστιν θεωρουμένοις προστάγμασιν ὡς υἱὸς τῆς καθολικῆς ἐκκλησίας ἀιδίως ὑποκείμενος, ἡμεῖς βουλόμενοι τὸν αὐτὸν βασιλέα ἐν τῇ πρώτῃ αὐτοῦ ὄψει καὶ ὑποδοχῇ ὡς υἱὸν τῆς ἐκκλησίας καὶ δὴ καὶ τοὺς ἄλλους Γραικούς, κληρικούς τε, μοναχούς, προεστῶτας καὶ λαϊκοὺς τοὺς αὐτῷ συμπαραγενομένους, οἳ πρὸς ἕνωσιν τῆς αὐτῆς ἐκκλησίας ἐλθεῖν ἐβουλήθησαν, ἐν ἀσπασμῷ εἰρήνης καὶ ἄλλως πρεπόντως καὶ δικαίως ὑποδέχεσθαι καὶ τιμῇ συμφώνῳ τιμᾶν, ὁμολογίας τῆς ῥηθείσης πίστεως καὶ ὁρκωμοσίας προσληφθέντων κατὰ τὸν ὀφειλόμενον τύπον ἄλλοτε (ὑπὸ) τοῦ τῆς λαμπρᾶς μνήμης Μιχαὴλ Παλαιολόγου βασιλέως τῶν Γραικῶν προηγησαμένου αὐτοῦ βασιλέως ἐν ὁμοίῳ συμβάματι φυλαχθέντα, περί τε τῆς ὑμετέρας εἰλικρινότητος πρὸς τὴν εἰρημένην πίστιν κατὰ τὴν περίσκεψιν ταύτην ἔχοντες ἐν κυρίῳ πλῆρες θάρρος ὑμῖν καὶ ἑκάστοις ὑμῶν πλήρη παρέχομεν εὐπορίαν ἀποστολικῇ αὐθεντίᾳ τῇ δυνάμει τῶν παρόντων, ὥστε ὑποδέξασθαι ἡμετέρῳ ὀνόματι καὶ τῆς εἰρημένης ἐκκλησίας ἀπὸ τῶν αὐτῶν, τοῦ τε βασιλέως καὶ τῶν ἄλλων Γραικῶν, κληρικῶν, μοναχῶν καὶ τῶν ὁποιουδήτινος ὄντων ἀξιώματος ταύτην τὴν ὁμολογίαν, τὴν ὁρκωμοσίαν,

τὴν ἐξωμοσίαν κατὰ τὸν περιεχόμενον τύπον ἐν τοῖς ἡμετέροις ἀποστολικοῖς γράμμασιν, ἅπερ ὑμῖν μετὰ τῶν παρόντων διαπέμπομεν, κἀκεῖθεν γενέσθαι συμβόλαια δημόσια καὶ γράμματα τῶν αὐτῶν, τοῦ τε βασιλέως καὶ τῶν ἄλλων, οἳ ὁμολογήσουσι καὶ ἐξομόσονται, σιγίλλοις καὶ σημείῳ κατωχυρωμένα. ἐδόθη ἐν τῷ Βιτέρβῳ νόνης ὀκτωβρίου ἔτει ἑβδόμῳ τῆς ἀρχιερωσύνης ἡμῶν.

Οἱ αὐτοὶ αἰδεσιμώτατοι πατέρες οἱ ἐπὶ τοῖς ἀναγεγραμμένοις ἐπιτεταγμένοι ἐν τούτῳ τῷ μέρει ἑρμηνεῖς ἐλάβοντο τὸν αἰδέσιμον πατέρα καὶ κύριον Παῦλον, θεοῦ χάριτι πατριάρχην Κωνσταντινουπόλεως, καὶ τὸν ἀδελφὸν κύριον Νικόλαον ἐπίσκοπον Ἀρενοπολιτάνον καὶ τὸν μοναχὸν ἄνδρα Ἀντώνιον ἐκ τῶν Ἀθηνῶν, τῆς τάξεως τῶν φρεμενουρίων, εἰδότας ἑκατέραν γλῶσσαν, Λατίνων καὶ Γραικῶν, τήν τε κοινὴν καὶ τὴν γραμματικήν, οἵτινες ἑρμηνεῖς ἐν ταῖς χερσὶν τοῦ εἰρημένου αὐθέντου Φραντζίσκου καρδιναλίου ἀπὸ συναινέσεως τῶν εἰρημένων ἄλλων αὐθεντῶν καρδιναλίων ἀναδεχομένου εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια ὤμοσαν πιστῶς ἀναφέρειν λατινικῇ γλώσσῃ τὰ ῥήματα τοῦ προειρημένου βασιλέως καὶ τῶν ἄλλων Γραικῶν τῶν μετὰ τοῦ βασιλέως ἐλθόντων καὶ ὁμολογίαν δοῦναι βουληθέντων. ἀλλ' ἰδοὺ καὶ ἡ τοῦ βασιλέως ὁμολογία·

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀμήν. Ἐγὼ Ἰωάννης ἐν [Χριστῷ] τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος, φωτὶ τοῦ ἁγίου πνεύματος ἐλλαμφθείς, τῆς ἐμαυτοῦ ψυχῆς προνοούμενος, ἑκουσίως παρεγενόμην εἰς τὴν ἱερὰν πόλιν Ῥώμην, τὸν ἁγιώτατον πάπαν τὸν αὐθέντην Οὐρβανὸν θείᾳ προνοίᾳ πάπαν πέμπτον καὶ τὴν ἁγίαν ἀποστολικὴν καθέδραν ἐπισκεψόμενος καὶ θεωρήσων καὶ ἐν ταῖς χερσὶ τοῦ αὐτοῦ αὐθέντου πάπα ἢ ἑτέρου ἢ ἑτέρων ἀπ' αὐτοῦ ἐν τούτῳ τῷ μέρει ἀποταχθέντων ἐπιγνωσόμενος καὶ ὁμολογήσων τὴν καθολικὴν πίστιν, ἣν [ἡ] ἱεραγία ῥωμαϊκὴ ἐκκλησία καὶ οἰκουμενικὴ ὁμολογεῖ, κρατεῖ καὶ διδάσκει, καὶ περὶ τὴν διηνεκῆ συντήρησιν τῆς αὐτῆς πίστεως τοῦ προρρηθέντος αὐθέντου πάπα καὶ τῶν αὐτοῦ διαδόχων ῥωμαϊκῶν ἀρχιερέων τοῖς προστάγμασι πεπληρωμένως καὶ ἐμπράκτως ὑποκεισόμενος καὶ διὰ τοῦτο ἐνώπιον ὑμῶν τῶν αἰδεσίμων πατέρων Γουλιέρμου ἐπισκόπου Ὀστιένση, Μπερνάρδου τῆς ἐκκλησίας τῶν ιβ' ἀποστόλων καὶ Φραντζίσκου τῆς ἐκκλησίας τῆς ἁγίας Σαβίνας πρεσβυτέρων καὶ Ῥαϊνάρ-

δου τοῦ ἁγίου Ἀδριανοῦ διακόνου καρδιναλίων ἐπιτρόπων ἐπὶ τούτοις ἀπὸ τοῦ εἰρημένου αὐθέντου πάπα ἀποτεταγμένων καὶ τοῦ αἰδεσίμου ἀνδρὸς τῆς αὐτῆς καθέδρας νοταρίου καὶ μαρτύρων ἀποτεταγμένων αὐτοπροσώπως κατασταθεὶς ὁμολογῶ καὶ πιστεύω τὴν ἁγίαν τριάδα, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα κτέ. *ut in litteris Andronici Palaeologi* (VI.) ὅθεν τὴν ἀναγεγραμμένην τῆς πίστεως ἀλήθειαν ὡς πληροέντως ἔχουσαν καὶ πιστῶς ἐκτεθεῖσαν ἀληθῆ, ἁγίαν καὶ ὀρθόδοξον πίστιν εἶναι ἐπιγινώσκω, ταύτην ἀποδέχομαι καὶ καρδίᾳ καὶ στόματι ὁμολογῶ, καὶ ἐφ᾽ ὅσον ἀληθῶς αὐτὴν κρατεῖ καὶ πιστῶς διδάσκει καὶ κηρύττει ἡ ἱεροαγία ῥωμαϊκὴ ἐκκλησία, ἐμαυτὸν ἀμολύντως φυλάξειν καὶ ἐν αὐτῇ πάντα χρόνον διατελέσειν καὶ ἀπ᾽ αὐτῆς ἐν οὐδενὶ καιρῷ ἀναχωρήσειν ἢ τινι τρόπῳ παρεγκλῖναι ὑπισχνέομαι, καὶ ἐξομνύομαι πᾶν σχίσμα, καὶ τὸ πρωτεῖον αὐτῆς τῆς ἱεροαγίας ῥωμαϊκῆς ἐκκλησίας ὡς ἐν τῇ προδηλωθείσῃ ὑφῇ περιέχεται, εἰς τὴν ὑποταγὴν τῆς αὐτῆς ἐκκλησίας ἐρχόμενος ἑκουσίως, ὁμολογῶ καὶ ἐπιγινώσκω, ἀποδέχομαι καὶ ἑκουσίως ὑποδέχομαι. καὶ τὰ ἀναγεγραμμένα πάντα, ὅσα περὶ τὴν τῆς πίστεως ἀλήθειαν καὶ ὅσα περὶ τὸ πρωτεῖον τῆς εἰρημένης ῥωμαϊκῆς ἐκκλησίας, τούτων τὴν ἐπίγνωσιν, τὴν ἀποδοχήν, τὴν ὑποδοχήν, τὴν συντήρησιν καὶ τὴν διαμονὴν ἐμαυτὸν διατηρήσειν καὶ φυλάξειν, δοθέντος πραγματικοῦ ὅρκου, ὑπόσχομαι καὶ ἐπιβεβαιῶ, οὕτως με βοηθήσει ὁ θεὸς καὶ ταῦτα τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, ὅτι ἐὰν κατὰ τούτων τι φρονῆσαι, ὁμολογῆσαι ἢ ἄλλως ποιῆσαι τολμήσω, ἐμαυτὸν σχισματικὸν καὶ αὐτῷ τούτῳ ἀναθεματισμένον εἶναι ἐπιγινώσκω καὶ τῇ ἀποτομίᾳ καὶ αὐστηρότητι τῶν ἁγίων κανόνων ὑποκεῖσθαι. εἰς ἀσφάλειαν τῶν προειρημένων καὶ φυλακὴν μείζονα τὸ παρὸν ὁρκωμοτικὸν μυστικὸν ἐξεθέμεθα συμβόλαιον καὶ βούλλᾳ χρυσῇ κατωχυρωμένον. ἐγράφη ἐν τῇ παλαιᾷ Ῥώμῃ ἔτει ἀπὸ τοῦ κυρίου σαρκώσεως χιλιοστῷ τριακοσιῷ ἑξηκοστῷ ἐνάτῳ, ἰνδικτιῶνος ἑβδόμης, ἡμέρᾳ δεκάτῃ τοῦ ὀκτωβρίου μηνός, παρόντος τοῦ αἰδεσίμου πατρὸς τοῦ κυρίου Παύλου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ κυρίου Νικολάου, ἐπισκόπου Ἀρενοπολιτάνου καὶ τοῦ εὐλαβοῦς ἀνδρὸς τοῦ ἀδελφοῦ Ἀντωνίου ἐκ τῶν Ἀθηνῶν πρὸς τὸ τὰ ἀνατεταγμένα ἑρμηνεῦσαι καὶ ἐκτεθῆναι ἐκλεγέντων, τῶν αἰδεσιμωτάτων πατέρων τῶν κυρίων καρδηναλίων ἐπιτρόπων καὶ τούτων αὐτῶν τῶν ῥηθέντων κυρίων καρδη-

ναλίων τὸ κῦρος ἐπιδιδόντων, τόν τε εἰρημένον βασιλέα ἐν ἀσπασμῷ εἰρήνης προσδεχομένων καὶ τῷ κόλπῳ τῆς ῥωμαϊκῆς ἐκκλησίας ἐπισυναγόντων ὡς ἀληθῆ καθολικὸν χριστιανόν.»

Εἴληπται ἐκ τῶν παππικῶν κωδίκων.

X. 1370 mense ianuario.

Imperator Ioannes Palaeologus fidem facit aurea bulla se Romae publico instrumento emisisse fidei professionem.

Nos Iohannes in Christo deo fidelis imperator ac Romeorum moderator Paleologus. Notum facimus vniversis presentes litteras inspecturis, quod cum die decima octava mensis octobris proxime preteriti in sacra vrbe Rome fecerimus professionem catholice fidei per reverendissimos patres dominos Guillelmum episcopum Ostiensem et Bernardum basilice XII. apostolorum ac Franciscum tituli sancte Sabine presbiteros et Raynaldum sancti Adriani diaconum cardinales, per sanctissimum patrem dominum Vrbanum divina providentia papam V. ad hoc specialiter deputatos, nobis exhibitam, sponte fecerimus sub certa forma, prout apparet per publicum instrumentum nostra propria manu subscriptum nostraque bulla aurea communitum et in eadem professione inter alia contineatur talis articulus, videlicet: Credo hanc esse veram fidem catholicam et quod hanc super dictis articulis tenet et predicat sacrosancta romana ecclesia etc, dicimus ad omnem ambiguitatem tollendam, nos credere et intelligere romanam ecclesiam, cui nunc preest prefatus dominus papa et sui predecessores romani pontifices prefuerunt, prout credunt et intelligunt catholici christiani in occidentis partibus constituti. In cuius rei testimonium presentes litteras nostre auree bulle munimine fecimus communiri, et nos hic nostra manu subscripsimus, ut est moris. Datum Rome die . . . mensis ianuarii anno nativitatis domini millesimo tregentesimo septuagesimo, indictione octava, pontificatus dicti domini pape anno octavo.

† Ἰωάννης ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. †

Aurea bulla suspensa serico violaceo. Imago Christi: IC. XC; *imperatoris imago:* ΙΩ| ΔΕΣ|ΠΟΤΗΣ| Ο ΠΑ|ΛΕ|ΟΛΟ|ΓΟΣ.

XI. 6942—1433 11. novembris.

Imperator Ioannes Palaeologus mittit tres procuratores ad concilium Basileense pro unione ecclesiarum.

† Ἐπειδὴ ἀπεστάλησαν εἰς τὴν ἱεραγίαν καθολικὴν σύνοδον τὴν ἐν Βαζηλέᾳ παρὰ τῆς βασιλείας μου ἀποκρισιάριοι, ὅ τε οἰκεῖος τῇ βασιλείᾳ μου πρωτοβεστιαρίτης κῦρις Δημήτριος Παλαιολόγος ὁ Μετοχίτης καὶ ὁ τιμιώτατος ἐν ἱερομονάχοις καὶ καθηγούμενος τῆς ἱερᾶς μονῆς τοῦ ἁγίου Δημητρίου καὶ ὁ οἰκεῖος τῇ βασιλείᾳ μου κῦρις Ἰωάννης ὁ Δισύπατος πρὸς κατάστασιν τῆς παρ' ἡμῶν σπουδαζομένης καθολικῆς καὶ οἰκουμενικῆς συνόδου ὑπὲρ τῆς μελετώσης ἑνώσεως τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ, καὶ δεδώκαμεν αὐτοῖς τελείαν καὶ πλήρη ἐξουσίαν καὶ ἄδειαν ὑπὲρ τούτου, θεσπίζει, τάττει καὶ διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβούλλου αὐτῆς, ἵνα πᾶν, ὅπερ ἂν τάξωσιν, ὑπόσχωνται, ὀμόσωσιν, ποιήσωσιν καὶ καταστήσωσιν ἐγγράφως περὶ τούτου οἱ προειρημένοι ἀποκρισιάριοι, λογισθῇ παρὰ τῆς βασιλείας μου καὶ στερχθῇ, ὥσπερ ἂν εἰ αὐτοπροσώπως αὐτὴ ἔπραξεν, ἔταξεν, ἔστερξέ τε τοῦτο καὶ ὤμοσεν. καὶ ἂν συμβῇ ἐμποδισμός τις ἢ θάνατος εἴς τινα αὐτῶν τῶν εἰρημένων ἀποκρισιαρίων, τότε τὸ πραχθησόμενον καὶ ὑποσχεθησόμενον παρὰ τῶν δύο ἵνα ᾖ στερκτὸν καὶ ἐρρωμένον, ὥσπερ εἰ ἐγένετο παρὰ τῶν τριῶν. καὶ δι' ἀσφάλειαν καὶ βεβαίωσιν τῶν προειρημένων ὀμνύει καὶ ἡ βασιλεία μου εἰς τὸν ὀφειλόμενόν μοι ὡς χριστιανῷ καὶ εὐσεβεῖ βασιλεῖ ὅρκον καὶ εἰς τὴν εὐχὴν τοῦ ἁγίου μοι αὐθέντου καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἔτι δὲ καὶ εἰς τὴν ψυχὴν τῆς βασιλείας μου. καὶ γέγονε τὸ παρὸν χρυσόβουλλον τῆς βασιλείας μου ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, ἀπὸ δὲ τῆς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γεννήσεως χιλιοστῷ τετρακοσιοστῷ τριακοστῷ τρίτῳ, ἡμέρᾳ ἑνδεκάτῃ τοῦ νοεμβρίου μηνὸς ἐν Κωνσταντινουπόλει ἐν τῷ ἡμετέρῳ βασιλικῷ παλατίῳ γράμμασιν ἐρυθροῖς οἰκείᾳ χειρὶ ὑπογεγραμμένον κατὰ τὸ βασιλικὸν ἔθος καὶ χρυσῆς βούλλης ἀπηωρημένης. †

† Ἰωάννης ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. †

Quoniam missi fuerunt ad sacrosanctum concilium generale Basiliense nostri et imperij nostri ambassiatores familiaris noster prothouestiaritis Demetrius Paleologus Metochites et honorandissimus in sacris monacis abbas sacri monasterij sancti Demetrij et familiaris noster Iohannes Dissipatus ad constitutionem a nobis sollicitati generalis et yecumenici concilij pro vnione premeditata ecclesiarum Christi, et dedimus eis ambassiatoribus perfectam et plenam potestatem et bayliam super et in predictis, mandat, diffinit et ordinat imperium nostrum per presens chrisobullum suum, quod omnia et singula illa, que ordinauerint, promiserint, iurauerint, fecerint et constituerint per scripturam seu scripturas super predictis prefati notri ambassiatores, reputentur a nostro imperio et affirmata sint, tamquam si a persona nostra presentialiter facta, ordinata, promissa et iurata forent. Et si contingeret impedimentum aliquod uel mors in aliquo dictorum ambassiatorum, tunc quod factum et promissum erit per duos ex eis, firmum et validum sit, tamquam si per omnes tres factum foret. Et in robur et firmitatem predictorum iurat imperium nostrum per iuramentum debitum et condecens nobis tamquam christiano fideli imperatori et per orationem et benedictionem sancti mei imperatoris domini et patris nostri felicis memorie et per animam meam. Factumque est presens chrisobullum imperij nostri [anno] a mundi creatione sex milleno nonagesimo quadragesimo secundo, a domini nostri Ihesu Christi natiuitate millesimo quadringentesimo tregesimo tertio, die undecima nouembris, Constantinopoli in palatio nostro imperiali et subscriptum litteris rubeis manu nostra propria more imperiali cum pendenti aurea bulla.

Orig. membr., aurea bulla suspensa serico rubro. Imago Iesu Christi cum litteris: IC XC; *imago imperatoris cum litteris:* IΩ EN XΩ AYTΩΚΡΑΤΩΡ Ο ΠΑΛΑΙΟΛΟΓΟΣ.

XII. 6947—1439. 6 iulii.

Decretum synodi florentinae de unione ecclesiarum.

Eugenius episcopus, servus servorum dei, ad perpetuam rei memoriam. Consentiente ad infrascripta carissimo filio nostro Iohanne Paleologo, Romeorum imperatore illustri, et locatenentibus venerabilium fratrum nostrorum patriarcarum et ceteris orientalem ecclesiam representantibus. Letentur celi et exultet terra, sublatus est enim de medio paries, qui occidentalem orientalemque dividebat ecclesiam, et pax atque concordia rediit, illo angulari lapide Christo, qui fecit utraque unum, vinculo fortissimo caritatis et pacis utrumque iungente parietem et perpetue unitatis federe copulante ac continente, postquam longam meroris nebulam et dissidii diuturni atram ingratamque caliginem serenum omnibus unionis optate iubar illuxit. Gaudeat et mater ecclesia, que filios suos hactenus invicem dissidentes iam videt in unitatem pacemque rediisse, et que antea in eorum separatione amarissime flebat, ex ipsorum modo mira concordia cum ineffabili gaudio omnipotenti deo gratias referat. Cuncti gratulentur fideles ubique per orbem, et qui christiano censentur nomine, matri catholice ecclesie colletentur. Ecce enim occidentales orientalesque patres post longissimum dissensionis atque discordie tempus, se maris ac terre periculis exponentes, omnibusque superatis laboribus ad hoc sacrum ycumenicum concilium desiderio sacratissime unionis et antique caritatis reintegrande gratia leti alacresque convenerunt, et intentione sua nequaquam frustrati sunt. Post longam enim laboriosamque indaginem, tandem spiritus sancti clementia ipsam optatissimam sanctissimamque unionem consecuti sunt. Quis igitur dignas omnipotentis dei beneficiis gratias referre sufficiat? quis tante divine miserationis divitias non obstupescat? cuius vel ferreum pectus tanta superne pietatis magnitudo non molliat? Sunt ista prorsus divina opera, non humane fragilitatis inventa, atque ideo eximia cum veneratione suscipienda et divinis laudibus prosequenda. Tibi laus, tibi gloria, tibi gratiarum actio, Christe, fons misericordiarum, qui tantum boni sponse tue catholice ecclesie contulisti, atque in generatione nostra tue pietatis miracula demonstrasti, ut enarrent omnes mirabilia tua. Magnum

